This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

**Über dieses Buch**

Dies ist ein digitales Exemplar eines Buches, das seit Generationen in den Regalen der Bibliotheken aufbewahrt wurde, bevor es von Google im Rahmen eines Projekts, mit dem die Bücher dieser Welt online verfügbar gemacht werden sollen, sorgfältig gescannt wurde.

Das Buch hat das Urheberrecht überdauert und kann nun öffentlich zugänglich gemacht werden. Ein öffentlich zugängliches Buch ist ein Buch, das niemals Urheberrechten unterlag oder bei dem die Schutzfrist des Urheberrechts abgelaufen ist. Ob ein Buch öffentlich zugänglich ist, kann von Land zu Land unterschiedlich sein. Öffentlich zugängliche Bücher sind unser Tor zur Vergangenheit und stellen ein geschichtliches, kulturelles und wissenschaftliches Vermögen dar, das häufig nur schwierig zu entdecken ist.

Gebrauchsspuren, Anmerkungen und andere Randbemerkungen, die im Originalband enthalten sind, finden sich auch in dieser Datei – eine Erinnerung an die lange Reise, die das Buch vom Verleger zu einer Bibliothek und weiter zu Ihnen hinter sich gebracht hat.

**Nutzungsrichtlinien**

Google ist stolz, mit Bibliotheken in partnerschaftlicher Zusammenarbeit öffentlich zugängliches Material zu digitalisieren und einer breiten Masse zugänglich zu machen. Öffentlich zugängliche Bücher gehören der Öffentlichkeit, und wir sind nur ihre Hüter. Nichtsdestotrotz ist diese Arbeit kostspielig. Um diese Ressource weiterhin zur Verfügung stellen zu können, haben wir Schritte unternommen, um den Missbrauch durch kommerzielle Parteien zu verhindern. Dazu gehören technische Einschränkungen für automatisierte Abfragen.

Wir bitten Sie um Einhaltung folgender Richtlinien:

+ *Nutzung der Dateien zu nichtkommerziellen Zwecken* Wir haben Google Buchsuche für Endanwender konzipiert und möchten, dass Sie diese Dateien nur für persönliche, nichtkommerzielle Zwecke verwenden.

+ *Keine automatisierten Abfragen* Senden Sie keine automatisierten Abfragen irgendwelcher Art an das Google-System. Wenn Sie Recherchen über maschinelle Übersetzung, optische Zeichenerkennung oder andere Bereiche durchführen, in denen der Zugang zu Text in großen Mengen nützlich ist, wenden Sie sich bitte an uns. Wir fördern die Nutzung des öffentlich zugänglichen Materials für diese Zwecke und können Ihnen unter Umständen helfen.

+ *Beibehaltung von Google-Markenelementen* Das "Wasserzeichen" von Google, das Sie in jeder Datei finden, ist wichtig zur Information über dieses Projekt und hilft den Anwendern weiteres Material über Google Buchsuche zu finden. Bitte entfernen Sie das Wasserzeichen nicht.

+ *Bewegen Sie sich innerhalb der Legalität* Unabhängig von Ihrem Verwendungszweck müssen Sie sich Ihrer Verantwortung bewusst sein, sicherzustellen, dass Ihre Nutzung legal ist. Gehen Sie nicht davon aus, dass ein Buch, das nach unserem Dafürhalten für Nutzer in den USA öffentlich zugänglich ist, auch für Nutzer in anderen Ländern öffentlich zugänglich ist. Ob ein Buch noch dem Urheberrecht unterliegt, ist von Land zu Land verschieden. Wir können keine Beratung leisten, ob eine bestimmte Nutzung eines bestimmten Buches gesetzlich zulässig ist. Gehen Sie nicht davon aus, dass das Erscheinen eines Buchs in Google Buchsuche bedeutet, dass es in jeder Form und überall auf der Welt verwendet werden kann. Eine Urheberrechtsverletzung kann schwerwiegende Folgen haben.

**Über Google Buchsuche**

Das Ziel von Google besteht darin, die weltweiten Informationen zu organisieren und allgemein nutzbar und zugänglich zu machen. Google Buchsuche hilft Lesern dabei, die Bücher dieser Welt zu entdecken, und unterstützt Autoren und Verleger dabei, neue Zielgruppen zu erreichen. Den gesamten Buchtext können Sie im Internet unter `http://books.google.com` durchsuchen.

# BIBLIOGRAPHIC RECORD TARGET

**Graduate Library**
**University of Michigan**

**Preservation Office**

**Storage Number:** _____

ABS3626
UL FMT B RT a BL m T/C DT 09/12/88 R/DT 09/12/88 CC STAT mm E/L 1
035/1: : |a (RLIN)MIUG86-B90195
035/2: : |a (CaOTULAS)160134955
040: : |a RPB |c RPB |d MiU
041:1 : |a ger |h gre
100:0 : |a Pappus, |c of Alexandria.
245:04: |a Der Sammlung des Pappus von Alexandrien. |c Griechisch und Deutsch chrsg. von C.I. Gerhardt. |n Zweiter Band.
260: : |a Halle, |b H.W. Schmidt, |c 1871.
300/1: : |a 3 p. L., [3]-381 p. |b illus., (incl. diagrs.) |c 23 cm.
500/1: : |a (Added t.-p.: Der Sammlung des Pappus von Alexandrien siebentes und achtes Buch ...)
500/2: : |a Greek and German on opposite pages.
500/3: : |a No more published.
650/1: 0: |a Geometry |x Early works to 1800
650/2: 0: |a Mechanics |x Early works to 1800.
700/1:1 : |a Gerhardt, Karl Immanuel, |d 1816-1899, |e tr.
998: : |c RAS |s 9124

**Scanned by Imagenes Digitales**
**Nogales, AZ**

**On behalf of**
**Preservation Division**
**The University of Michigan Libraries**

Date work Began: _____
Camera Operator: _____

Hosted by Google

E. Netto.

L. C. Karpinski

Hosted by Google

Hosted by Google

Hosted by Google

# DIE SAMMLUNG

DES

# PAPPUS VON ALEXANDRIEN.

GRIECHISCH UND DEUTSCH

HERAUSGEGEBEN

VON

C. I. GERHARDT.

---

ZWEITER BAND.

---

HALLE,

DRUCK UND VERLAG VON H. W. SCHMIDT.

1871.

Hosted by Google

# DER SAMMLUNG

DES

# PAPPUS VON ALEXANDRIEN

SIEBENTES UND ACHTES BUCH

GRIECHISCH UND DEUTSCH

HERAUSGEGEBEN

VON

**C. I. GERHARDT.**

HALLE,

DRUCK UND VERLAG VON H. W. SCHMIDT

1871.

Hosted by Google

Hosted by Google

# ΠΑΠΠΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ

# ΣΥΝΑΓΩΓΗΣ Ζ.



Hosted by Google

## Πάππου Ἀλεξανδρέως συναγωγῆς ἕβδομον, περιέχει δὲ λέμματα τοῦ ἀναλυομένου.

Ὁ καλούμενος ἀναλυόμενος, Ἑρμόδωρε τέκνον, κατὰ σύλληψιν, ἰδία τίς ἐστιν ὕλη παρεσκευασμένη μετὰ τὴν τῶν κοινῶν στοιχείων ποίησιν τοῖς βουλομένοις ἀναλαμβάνειν ἐν γραμμαῖς δύναμιν εὑρετικὴν τῶν προτεινομένων αὐτοῖς προβλημάτων, καὶ εἰς τοῦτο μόνον χρησίμη καθεστῶσα. γέγραπται δὲ ὑπὸ τριῶν ἀνδρῶν, Εὐκλείδου τε τοῦ στοιχειωτοῦ, καὶ Ἀπολλωνίου τοῦ Περγαίου, καὶ Ἀριστaίου τοῦ πρεσβυτέρου, κατὰ ἀνάλυσιν καὶ σύνθεσιν ἔχουσα τὴν ἔφοδον. ἀνάλυσις τοίνυν ἐστὶν ὁδὸς ἀπὸ τοῦ ζητουμένου ὡς ὁμολογουμένου διὰ τῶν ἑξῆς ἀκολούθων ἐπί τι ὁμολογούμενον ἐν συνθέσει· ἐν μὲν γάρ τῇ ἀναλύσει τὸ ζητούμενον ὡς γεγονὸς ὑποθέμενοι τὸ ἐξ οὗ τοῦτο συμβαίνει σκοπούμεθα, καὶ πάλιν ἐκείνου τὸ προηγούμενον, ἕως ἄν οὕτως ἀναποδίζοντες καταντήσωμεν εἴς τι τῶν ἤδη γνωριζομένων, ἢ τάξιν ἀρχῆς ἐχόντων· καὶ τὴν τοιαύτην ἔφοδον ἀνάλυσιν καλοῦμεν, οἷον ἀνάπαλιν λύσιν. ἐν δὲ συνθέσει ἐξ ὑποστροφῆς τὸ ἐν τῇ ἀναλύσει καταληφθὲν ὕστατον ὑποστησάμενοι γεγονὸς ἤδη, καὶ τὰ ἑπόμενα ἐκεῖ ἐνταῦθα προηγούμενα κατὰ φύσιν τάξαντες καὶ ἀλλήλοις ἐπισυνθέντες, εἰς τέλος ἀφικνούμεθα τῆς τοῦ ζητουμένου κατασκευῆς· καὶ τοῦτο καλοῦμεν σύνθεσιν. διττὸν δέ ἐστιν ἀναλύσεως γένος· τὸ μὲν γὰρ ζητητικὸν τἀληθοῦς, ὃ καλεῖται θεωρητικὸν· τὸ δὲ πoριστικὸν τοῦ προτεθέντος λέγειν, ὃ καλεῖται προβληματικόν. ἐπὶ μὲν οὖν τοῦ θεωρητικοῦ γένους τὸ ζητούμενον ὡς ὂν ὑποθέμενοι καὶ ὡς ἐς, εἶτα διὰ τῶν ἑξῆς ἀκολούθων

# Die Sammlung des Pappus von Alexandrien. Siebentes Buch, welches die Hülfssätze zu dem rückwärts aufgelösten Ort enthält.

Der sogenannte rückwärts aufgelöste Ort, mein Sohn Hermodorus, ist, um es kurz zu sagen, ein eigener Uebungsstoff für diejenigen, welche mit den ersten Elementen vertraut, in der Geometrie die Fähigkeit zu erlangen wünschen, die Lösungen von vorgelegten Problemen zu finden, und ist nur für diesen Zweck zu gebrauchen. Wie aus den Schriften der drei Männer, Euklid's des Verfassers der Elemente, Apollonius' von Pergä und Aristäus' des Aelteren erhellt, dienen Analysis und Synthesis als Mittel dazu. Die Analysis ist ein Weg, von dem Gesuchten das als ausgemacht betrachtet wird, mittelst der sich daraus ergebenden Folgerungen zu dem synthetisch Feststehenden zu gelangen; in der Analysis nämlich setzen wir das Gesuchte als bereits vorhanden voraus und sehen zu, woraus dieses sich ergiebt, und ferner was diesem letzteren vorausgeht, bis dass wir so zurückschreitend auf etwas schon Bekanntes oder auf das was als Ausgangspunkt dienen kann, kommen. Diesen Weg nennen wir Analysis, gleichsam eine Rückwärtsauflösung. In der Synthesis dagegen schlagen wir den entgegengesetzten Weg ein, indem wir das zuletzt in der Analysis Gewonnene als bereits feststehend hinstellen, das dort Folgende hier als das Vorausgehende naturgemäss ordnen und zu einander in Zusammenhang bringen, und so zuletzt zur Construction des Gesuchten gelangen. Das nennen wir Synthesis. Die Analysis ist nun doppelter Art: einmal ist sie zum Suchen des Wahren behülflich, die speculative Analysis; zweitens vermittelt sie das Erfinden des Vorgesetzten, die Aufgaben lösende Analysis. In der speculativen Analysis setzen wir das Gesuchte als bestehend und als wahr voraus und gelangen durch die sich daraus ergebenden Fol-



Hosted by Google

ὡς ἀληθῶν καὶ ὡς ἐστι καθ' ὑπόθεσιν προελθόντες ἐπί τι ὁμολογούμενον· ἐὰν μὲν ἀληθὲς ᾖ ἐκεῖνο τὸ ὁμολογούμενον, ἀληθὲς ἔσται καὶ τὸ ζητούμενον, καὶ ἡ ἀπόδειξις ἀντίστροφος τῇ ἀναλύσει· ἐὰν δὲ ψεῦδει ὁμολογουμένῳ ἐντύχωμεν, ψεῦδος ἔσται καὶ τὸ ζητούμενον. ἐπὶ δὲ τοῦ προβληματικοῦ γένους τὸ προτεθὲν ὡς γνωσθὲν ὑποθέμενοι, εἶτα διὰ τῶν ἑξῆς ἀκολούθων ὡς ἀληθῶν προελθόντες ἐπί τι ὁμολογούμενον· ἐὰν μὲν τὸ ὁμολογούμενον δυνατὸν ᾖ καὶ πορίστὸν, ὅ καλοῦσιν οἱ ἀπὸ τῶν μαθημάτων δοθέν, δυνατὸν ἔσται καὶ τὸ προτεθὲν, καὶ πάλιν ἡ ἀπόδειξις ἀντίστροφος τῇ ἀναλύσει· ἐὰν δὲ ἀδυνάτῳ ὁμολογουμένῳ ἐντύχωμεν, ἀδύνατον ἔσται καὶ τὸ πρόβλημα. Διορισμὸς δὲ ἐστι προδιαστολὴ τοῦ πότε καὶ πῶς καὶ ποσαχῶς δυνατὸν ἔσται τὸ πρόβλημα. τοσαῦτα μὲν οὖν περὶ ἀναλύσεως καὶ συνθέσεως.

Τῶν δὲ προειρημένων τοῦ ἀναλυομένου βιβλίων ἡ τάξις ἐστὶ τοιαύτη· Εὐκλείδου δεδομένων βιβλίον ἕν· Ἀπολλωνίου λόγου ἀποτομῆς δύο, χωρίου ἀποτομῆς δύο, διωρισμένης τομῆς δύο,[1]) ἐπαφῶν δύο· Εὐκλείδου πορισμάτων τρία· Ἀπολλωνίου νεύσεων δύο, τοῦ αὐτοῦ τόπων ἐπιπέδων δύο, κωνικῶν ὀκτώ· Ἀριστταίου τόπων στερεῶν πέντε· Εὐκλείδου τόπων πρὸς ἐπιφάνειαν δύο· Ἐρατοσθένους περὶ μεσοτήτων δύο. γίνεται βιβλία $\overline{\lambda\gamma}$, ὧν τὰς περιοχὰς μέχρι τῶν Ἀπολλωνίου κωνικῶν ἐξεθέμην σοὶ πρὸς ἐπίσκεψιν, καὶ τὸ πλῆθος τῶν τόπων καὶ τῶν διορισμῶν καὶ τῶν πτώσεων καθ' ἕκαστον βιβλίον· ἀλλὰ καὶ τὰ λήμματα τὰ ζητούμενα· καὶ οὐδεμίαν ἐν τῇ πραγματείᾳ τῶν βιβλίων καταλέλοιπα ζήτησιν, ὡς ἐνόμιζον.

Περιέχει δὲ τὸ πρῶτον βιβλίον, ὅπερ ἐστὶ τῶν δεδομένων, ἅπαντα θεωρήματα ἐννενήκοντα· ὧν πρῶτα μὲν καθόλου ἐπὶ μεγεθῶν διαγράμματα $\overline{\kappa\gamma}$, τὸ δὲ $\overline{\delta}$ καὶ τὸ $\overline{\kappa}$ ἐν εὐθείαις ἐστὶν ἀνάλογον ἄνευ θέσεως· τὰ δὲ ἑξῆς τούτοις $\overline{\iota\delta}$ ἐν εὐθείαις ἐστὶ θέσει δεδομέναις. τὰ δὲ τούτοις ἑξῆς $\overline{\iota}$[2]) ἐπὶ τριγώνων ἐστὶ τῷ εἴδει δεδομένων ἄνευ θέσεως. τὰ δὲ ἑξῆς τούτοις ἑπτὰ

[1]) διωρισμένης τομῆς δύο fehlt in den Hdsch. *Halley* hat es hinzugesetzt.
[2]) $\overline{\iota}$ fehlt in den Hdsch.

Hosted by Google

gerungen, die wir als wahr annehmen, wie sie es auch nach der Voraussetzung sind, zu irgend einer Behauptung; wenn nun diese Behauptung wahr ist, so wird es auch das Gesuchte sein; der Beweis wird einen der Analysis entgegengesetzten Gang nehmen; kommen wir aber auf eine falsche Behauptung, so wird auch das Gesuchte falsch sein. Was nun die Aufgaben lösende Analysis anlangt, so setzen wir das vorgelegte Problem als bekannt voraus und gelangen durch die sich daraus ergebenden Folgerungen, die wir als wahr annehmen, zu irgend einer Behauptung; wenn nun diese Behauptung möglich und ausgemittelt ist, was die Mathematiker gegeben nennen, so wird auch das Problem möglich sein; auch hier wird der Beweis einen der Analysis entgegengesetzten Gang nehmen; kommen wir aber auf eine unmögliche Behauptung, so wird auch die Aufgabe unmöglich sein. Determination ist die Voruntersuchung, wann und wie und auf wie vielerlei Art die Aufgabe möglich ist. Soviel über Analysis und Synthesis.

Die oben erwähnten Schriften, die über den rückwärts aufgelösten Ort handeln, folgen so aufeinander: von Euklid ein Buch Data; von Apollonius zwei Bücher über den Verhältnissschnitt, zwei Bücher über den Raumschnitt, zwei Bücher über den bestimmten Schnitt, zwei Bücher über Berührungen; von Euklid drei Bücher über Porismen; von Apollonius zwei Bücher über Neigungen, zwei Bücher über ebene Oerter, acht Bücher über Kegelschnitte; von Aristäus fünf Bücher über körperliche Oerter; von Euklid zwei Bücher über Oerter auf der Oberfläche; von Eratosthenes zwei Bücher über mittlere Proportionallinien. Es sind dies drei und dreissig Bücher, von deren Inhalt, bis auf die Kegelschnitte des Apollonius, Kenntniss zu nehmen ich dir anempfehle, so wie auch von der Anzahl der Oerter, der Determinationen und der Fälle, die in jedem Buche vorkommen, desgleichen von den aufgesuchten Hülfssätzen; ich glaube in der Abhandlung über diese Bücher keine Frage unberücksichtigt gelassen zu haben.

Das erste Buch, welches die Data enthält, hat im Ganzen neunzig Lehrsätze, von denen die ersten drei und zwanzig sich auf Grössen im Allgemeinen beziehen, der vier und zwanzigste handelt von proportionalen Linien die nicht ihrer Lage nach gegeben sind, die folgenden vierzehn von Linien die ihrer Lage nach gegeben sind, die nächsten zehn von Dreiecken, die ihrer Gestalt nach, nicht ihrer Lage nach gegeben sind, die folgenden sieben von be-

Hosted by Google

ἐπὶ τυχόντων ἐστὶν εὐθυγράμμων χωρίων εἴδει δεδομένων ἄνευ θέσεως· τὰ δὲ ἑξῆς τούτοις ἓξ ἐν παραλληλογράμμοις ἔτι καὶ παραβολαῖς εἴδει δεδομένων χωρίων. τῶν δὲ ἐχομένων $\overline{\varepsilon}$ τὸ μὲν πρῶτον γράφομενόν ἐστι, τὰ δὲ $\overline{\delta}$ ἐπὶ τριγώνων χωρίων, ὅτι αἱ διαφοραὶ τῶν δυνάμεων τῶν πλευρῶν πρὸς ταύτα τὰ τρίγωνα χωρία λόγον ἔχουσι δεδομένον. τὰ δὲ ἑξῆς ἑπτὰ ἕως τοῦ $\overline{ο}$ καὶ $\overline{γ}$ ἐν δυσὶ παραλληλογράμμοις, ὅτι διὰ τὰς ἐν ταῖς γωνίαις ὑποθέσεις ἐν δεδομένοις ἐστὶ λόγοις πρὸς ἄλληλα· ἕνια δὲ τούτων ἐπιλόγους ἔχει ὁμοίους ἐν δυσὶ τριγώνοις. ἐν δὲ τοῖς ἐφ' ἑξῆς ἓξ διαγράμμασιν ἕως τοῦ $\overline{ο}$ καὶ $\overline{ϑ}$, δύο μέν ἐστιν ἐπὶ τριγώνων, $\overline{δ}$ δὲ ἐπὶ πλειόνων εὐθειῶν ἀνάλογον οὐσῶν. τὰ δὲ ἑξῆς τρία ἐπὶ δύο εὐθειῶν ἀνάλογον οὐσῶν, τὰ δ' ἔστι δοθέν τι περιεχουσῶν χωρίον. τὰ δὲ ἐπὶ πᾶσιν ὀκτὼ ἕως $\overline{ι}$ ἐν κύκλοις δείκνυται, τοῖς μὲν μεγέθει μόνον δεδομένοις, τοῖς δὲ καὶ θέσει, [ὅτι][1]) διαγομένων εὐθειῶν ἐστι διὰ δεδομένου σημείου τὰ γενόμενα δεδομένα.

Τῆς δ' ἀποτομῆς τοῦ λόγου βιβλίων ὄντων δύο, πρότασίς ἐστι μία ὑποδιηρημένη· διὸ καὶ μίαν πρότασιν οὕτω γράφω· διὰ τοῦ δοθέντος σημείου εὐθεῖαν γραμμὴν ἀγαγεῖν τέμνουσαν ἀπὸ τῶν τῇ θέσει δοθεισῶν δύο εὐθειῶν πρὸς τοῖς ἐπ' αὐτῶν δοθεῖσι σημείοις λόγον ἐχούσας τὸν αὐτὸν τῷ δοθέντι. τὰς δὲ γραφὰς διαφόρους γενέσθαι καὶ πλῆθος λαβεῖν συμβέβηκεν ὑποδιαιρέσεως γενομένης ἕνεκα, τῆς τε πρὸς ἀλλήλας θέσεως τῶν δεδομένων εὐθειῶν καὶ τῶν διαφόρων πτώσεων τοῦ δεδομένου σημείου, καὶ διὰ τὰς ἀναλύσεις καὶ συνθέσεις αὐτῶν τε καὶ τῶν διορισμῶν. ἔχει γὰρ τὸ μὲν πρῶτον βιβλίον τῶν λόγου ἀποτομῆς τόπους ἑπτά, πτώσεις $\overline{κδ}$, διωρισμοὺς δὲ $\overline{ε}$, ὧν τρεῖς μέν εἰσι μέγιστοι, δύο δὲ ἐλάχιστοι· καὶ ἔστι μέγιστος μὲν κατὰ τὴν τρίτην πτῶσιν τοῦ $\overline{ε}$ τόπου, ἐλάχιστος δὲ κατὰ τὴν δευτέραν τοῦ ἕκτου τόπου καὶ κατὰ τὴν αὐτὴν τοῦ $\overline{ζ}$ τόπου, μέγιστοι δὲ οἱ κατὰ τὰς τετάρτας τοῦ ἕκτου καὶ τοῦ $\overline{ζ}$ τόπου. τὸ δὲ δεύτερον βιβλίον λόγου ἀποτομῆς ἔχει τόπους $\overline{ιδ}$, πτώσεις δὲ $\overline{ξγ}$, διορισμοὺς δὲ τοὺς ἐκ τοῦ

[1]) Einschaltung von *Halley*.

Hosted by Google

liebigen geradlinigen ebenen Figuren, die ihrer Gestalt nach, aber nicht der Lage nach gegeben sind. Darauf kommen sechs Lehrsätze über Parallelogramme und über Anlegung von ebenen Figuren, die der Gestalt nach gegeben sind. Von den folgenden fünf Lehrsätzen ist der Inhalt des ersten eben angegeben, die vier andern handeln von dem Inhalt der Dreiecke, dass nämlich die Unterschiede der Potenzen der Seiten zu dem Flächeninhalt der Dreiecke ein gegebenes Verhältniss haben. Die folgenden sieben bis zum drei und siebzigsten beziehen sich auf zwei Parallelogramme, dass sie in Folge der Annahmen über die Winkel in gegebenen Verhältnissen zu einander stehen; aus einigen derselben ergeben sich ähnliche Schlüsse für zwei Dreiecke. Von den nächsten sechs Lehrsätzen bis zum neun und siebzigsten handeln zwei über Dreiecke, die übrigen vier über mehrere proportionale gerade Linien. Die drei folgenden beziehen sich auf zwei proportionale d. i. eine gegebene ebene Figur einschliessende gerade Linien. In den übrigen acht bis zum neunzigsten Lehrsatze wird an Kreisen, die entweder nur der Grösse nach oder auch der Lage nach gegeben sind, dargethan, dass die Rechtecke, die aus den Abschnitten der durch einen gegebenen Punkt gezogenen Geraden entstehen gegeben sind.

Die beiden Bücher über den Verhältnisssschnitt enthalten eine einzige in Unterabtheilungen zerfallende Aufgabe. Sie lautet: Durch einen gegebenen Punkt eine gerade Linie zu ziehen, die von zwei der Lage nach gegebenen Geraden Segmente abschneidet, welche bis zu den in denselben Linien gegebenen Punkten gerechnet, ein gegebenes Verhältniss haben. Sie lässt eine Menge verschiedener Constructionen zu wegen der Unterabtheilungen, die gemacht werden, wegen der verschiedenen Lage der gegebenen Geraden zu einander und wegen der verschiedenen Lagen des gegebenen Punktes, so wie auch in Folge der Analysen und Synthesen derselben und der Determinationen. Es enthält das erste Buch des Verhältnisssschnittes sieben Oerter, vier und zwanzig Fälle, fünf Determinationen, von denen drei Maxima, zwei Minima sind; ein Maximum findet statt im dritten Fall des fünften Ortes, die Minima in den zweiten Fällen des sechsten und des siebenten Ortes, die übrigen Maxima in den vierten Fällen des sechsten und

Hosted by Google

πρώτου· ἀπάγεται γὰρ ὅλον εἰς τὸ πρῶτον. λέμματα δὲ ἔχει τὰ λόγου ἀποτομῆς κ. αὐτὰ δὲ τὰ δύο βιβλία τῶν λόγου ἀποτομῆς θεωρημάτων ἐστὶ ρπα, κατὰ δὲ Περικλέα πλειόνων ἢ τοσούτων.

Τῆς δ' ἀποτομῆς τοῦ χωρίου βιβλία μέν ἐστι δύο, πρόβλημα δὲ κἂν τούτοις ἕν, ὑποδιαιρούμενον δίς· καὶ τούτων μία πρότασίς ἐστι τὰ μὲν ἄλλα ὁμοίως ἔχουσα τῇ προτέρᾳ, μόνῳ δὲ τούτῳ διαφέρουσα τῷ δεῖν τὰς ἀποτεμνομένας δύο εὐθείας ἐν ἐκείνῃ μὲν λόγον ἐχούσας δοθέντα ποιεῖν, ἐν δὲ ταύτῃ χωρίον περιεχούσας δοθέν. ῥηθήσεται γὰρ οὕτω· διὰ τοῦ δοθέντος σημείου εὐθεῖαν γραμμὴν ἀγαγεῖν τέμνουσαν ἀπὸ τῶν δοθεισῶν θέσει δύο εὐθειῶν πρὸς τοῖς ἐπ' αὐτῶν δοθεῖσι σημείοις χωρίον περιεχούσας ἴσον τῷ δοθέντι. καὶ αὕτη δὲ διὰ τὰς αὐτὰς αἰτίας τὸ πλῆθος ἔσχηκε τῶν γραφομένων. ἔχει δὲ τὸ μὲν πρῶτον βιβλίον χωρίου ἀποτομῆς τόπους ζ, πτώσεις κδ, διορισμοὺς ζ, ὧν τέσσαρες μὲν μέγιστοι, τρεῖς δὲ ἐλάχιστοι· καὶ ἔστι μέγιστος μὲν κατὰ τὴν δευτέραν πτῶσιν τοῦ πρώτου τόπου, καὶ ὁ κατὰ τήν πρώτην πτῶσιν τοῦ β τόπου, καὶ ὁ κατὰ τὴν δευτέραν τοῦ τετάρτου, καὶ ὁ κατὰ τὴν τρίτην τοῦ ἕκτου τόπου· ἐλάχιστος δὲ ὁ κατὰ τὴν τρίτην πτῶσιν τοῦ τρίτου τόπου, καὶ ὁ κατὰ τὴν τετάρτην τοῦ τετάρτου τόπου, καὶ ὁ κατὰ τὴν πρώτην τοῦ ἕκτου τόπου. τὸ δὲ δεύτερον βιβλίον τῶν χωρίου ἀποτομῆς ἔχει τόπους ιγ, πτώσεις δὲ ξ, διορισμοὺς δὲ τοὺς ἐκ τοῦ πρώτου· ἀπάγεται γὰρ εἰς αὐτό. θεωρήματα δὲ ἔχει τὸ μὲν πρῶτον βιβλίον μη, τὸ δὲ δεύτερον ος.

Ἑξῆς [δὲ] [1]) τούτοις ἀναδέδονται τῆς διωρισμένης τομῆς βιβλία δύο, ὧν ὁμοίως τοῖς πρότερον μίαν πρότασιν πάρεστι λέγειν, διεζευγμένην δὲ ταύτην· τὴν δοθεῖσαν ἄπειρον εὐθεῖαν ἑνὶ σημείῳ τεμεῖν, ὥστε τῶν ἀπολαμβανομένων εὐθειῶν πρὸς τοῖς ἐπ' αὐτῆς δοθεῖσι σημείοις, ἤτοι τὸ ἀπὸ μιᾶς τετράγωνον, ἢ τὸ ὑπὸ δύο ἀπολαμβανομένων περιεχόμενον ὀρθογώνιον δοθέντα λόγον ἔχειν ἤτοι πρὸς τὸ ὑπὸ [2]) μιᾶς ἀπολαμβανομένης καὶ τῆς ἔξω δοθείσης, ἢ πρὸς τὸ ὑπὸ δύο ἀπολαμβανομέων περιεχόμενον ὀρθογώνιον,

---

[1]) Einschaltung von *Snellius*. Vergl. Wilebrordi Snellii Apollonius Batavus seu exsuscitata Apollonii Pergaei περὶ διωρισμένης τομῆς Geometria. Lugd. 1608. 4.

[2]) Die Hdsch. haben ἀπό.

Hosted by Google

des siebenten Ortes. Das zweite Buch des Verhältnissschnittes hat vierzehn Oerter, drei und sechzig Fälle, die Determinationen des ersten Buchs, denn es bezieht sich ganz auf das erste. Beide Bücher des Verhältnissschnittes enthalten zwanzig Lemmata und hundert und ein und achtzig Theoreme, oder auch, wie Perikles will, noch mehr.

In den beiden Büchern über den Raumschnitt giebt es ebenfalls nur ein Problem, das in zwei Theile zerfällt. Auch ist die einzige darin vorgelegte Frage der vorhergehenden ähnlich, und es findet allein der Unterschied statt, dass in jener die beiden abgeschnittenen geraden Linien ein gegebenes Verhältniss haben, während hier sie ein gegebenes Rechteck bilden sollen. Sie lautet nämlich folgendermassen: Durch einen gegebenen Punkt eine gerade Linie zu ziehen, die von zwei der Lage nach gegebenen Geraden Stücke abschneidet, welche bis zu den in denselben Linien gegebenen Punkten gerechnet ein einem gegebenen Rechteck gleiches einschliessen. Auch sie bietet aus denselben Gründen eine Menge von Constructionen. Das erste Buch des Raumschnitts hat sieben Oerter, vier und zwanzig Fälle und sieben Determinationen, von denen vier Maxima, drei Minima sind. Die Maxima sind bei dem zweiten Fall des ersten Ortes, bei dem ersten Fall des zweiten Ortes, bei dem zweiten Fall des vierten Ortes und bei dem dritten Fall des sechsten Ortes; die Minima sind bei dem dritten Fall des dritten Ortes, bei dem vierten Fall des vierten Ortes und bei dem ersten Fall des sechsten Ortes. Das zweite Buch des Raumschnitts enthält dreizehn Oerter, sechzig Fälle und die Determinationen aus dem ersten Buche, auf welches es sich bezieht. Das erste Buch hat acht und vierzig Theoreme, das zweite deren sechs und siebzig.

Hieran reihen sich zwei Bücher über den bestimmten Schnitt, in welchen ebenfalls wie in den vorhergehenden nur eine einzige Aufgabe, jedoch in verschiedene Fälle getheilt, zu finden ist, nämlich: Eine gegebene unbegränzte Gerade in einem Punkte zu schneiden, so dass von den Segmenten zwischen diesem und den in der Linie gegebenen Punkten entweder das Quadrat des einen oder das Rechteck aus beiden Segmenten ein gegebenes Verhältniss hat entweder zu dem Rechteck aus dem einen Segment und einer andern gegebenen Linie, oder zu dem Rechteck aus zwei Segmenten, auf welcher Seite der gegebenen Punkte man sie an-

Hosted by Google

ἐφ᾽ ὁποτέρᾳ χρῇ τῶν [1]) δοθέντων σημείων. καὶ ταύτης, ἅτε δὶς διεζευγμένης καὶ περισκελεῖς διορισμοὺς ἐχούσης, διὰ πλειόνων ἡ δεῖξις γέγονεν ἐξ ἀνάγκης. δείκνυσι δὲ ταύτην Ἀπολλώνιος μὲν πάλιν ἐπὶ ψιλῶν τῶν εὐθειῶν τριβακώτερον πειρώμενος, καθάπερ καὶ ἐπὶ τοῦ δευτέρου βιβλίου τῶν πρώτων στοχείων Εὐκλείδου, καὶ ταύτην πάλιν εἰσαγωγικώτερον ἐπαναγράφων δείξαστε [2]) καὶ εὐφυῶς διὰ τῶν ἡμικυκλίων. ἔχει δέ τὸ μὲν πρῶτον βιβλίον προβλήματα ξ̄, ἐπιτάγματα ι̅ς̅, διορισμοὺς δὲ ε̅, ὧν μείζστους μὲν δ̅, ἐλάχιστον δὲ ἕνα· καὶ εἰσὶ μέγιστοι μὲν ὅ,τε κατὰ τὸ δεύτερον ἐπίταγμα τοῦ δευτέρου προβλήματος, καὶ ὁ κατὰ τὸ τρίτον τοῦ τετάρτου προβλήματος, καὶ ὁ κατὰ τὸ τρίτον τοῦ πέμπτου, καὶ ὁ κατὰ τὸ τρίτον τοῦ ἕκτου· ἐλάχιστος δὲ ὁ κατὰ τὸ τρίτον ἐπίταγμα τοῦ τρίτου προβλήματος. τὸ δὲ δεύτερον διωρισμένης τομῆς ἔχει προβλήματα τρία, ἐπιτάγματα ἐννέα, διορισμοὺς τρεῖς, ὧν εἰσὶν ἐλάχιστοι μὲν ὅ,τε κατὰ τὸ τρίτον τοῦ πρώτου καὶ ὁ κατὰ τὸ τρίτον τοῦ δευτέρου, μέγιστος δὲ ὁ κατὰ τὸ τρίτον τοῦ τρίτου προβλήματος. λήμματα δὲ ἔχει τὸ μὲν πρῶτον βιβλίον κ̅ζ̅, τὸ δὲ δεύτερον κ̅δ̅· θεωρημάτων δέ ἐστι τὰ δύο βιβλία διωρισμένης τομῆς π̅γ̅.

Ἑξῆς δὲ τούτοις τῶν ἐπαφῶν ἐστι βιβλία δύο. προτάσεις δὲ ἐν αὐτοῖς δοκοῦσιν εἶναι πλείονες, ἀλλὰ καὶ τούτων μίαν τίθεμεν οὕτως ἔχουσαν· ἐξῆς σημείων καὶ εὐθειῶν καὶ κύκλων τριῶν ὁποιωνοῦν θέσει δοθέντων, κύκλον ἀγαγεῖν δι᾽ ἑκάστου τῶν δοθέντων σημείων, εἰ δοθείη, ἐφαπτόμενον ἑκάστης τῶν δοθεισῶν γραμμῶν. ταύτης διὰ πλήθη τῶν ἐν ταῖς ὑποθέσεσι δεδομένων ὁμοίων ἢ ἀνομοίων κατὰ μέρος διαφόρους προτάσεις ἀναγκαῖον γίνεσθαι δέκα· ἐκ τῶν τριῶν γὰρ ἀνομοίων γενῶν τριάδες διάφοροι ἄτακτοι γίνονται δέκα. ἤτοι γὰρ τὰ δεδομένα τρία σημεῖα, ἢ τρεῖς εὐθεῖαι, ἢ δύο σημεῖα καὶ εὐθεῖα, ἢ δύο εὐθεῖαι καὶ σημεῖον, ἢ δύο σημεῖα καὶ κύκλος, ἢ δύο κύκλοι καὶ σημεῖον, ἢ δύο εὐθεῖαι καὶ κύκλος, ἢ δύο κύκλοι καὶ εὐθεῖα, ἢ σημεῖον καὶ εὐθεῖα καὶ κύκλος, ἢ τρεῖς κύκλοι. τούτων δύο μὲν τὰ πρῶτα δέδεικται ἐν τῷ τετάρτῳ βιβλίῳ

[1]) So emendirt *Halley*; die Hdsch. haben: ἐφ᾽ ὁπότερα χρηστῶν δοθέντων.

[2]) So *Halley*; die Hdsch. haben δείξαντος.

Hosted by Google

nehmen mag. Insofern diese Aufgabe in zwei Theile zerfällt und verwickelte Determinationen enthält, so musste nothwendig ihre Darlegung umständlicher geschehen. Apollonius löst sie, indem er einmal auf gewöhnlichere Weise lediglich mit Hülfe gerader Linien es versucht, ganz so wie im zweiten Buch der Elemente Euklid's es geschieht, und sodann mehr zur Unterweisung und auf eine geistreiche Art durch Halbkreise. Das erste Buch enthält sechs Aufgaben, sechzehn Anordnungen, fünf Determinationen, von denen vier Maxima, eine ein Minimum ist; die Maxima befinden sich in der zweiten Anordnung der zweiten Aufgabe, in der dritten Anordnung der vierten Aufgabe, in der dritten Anordnung der fünften Aufgabe und in der dritten Anordnung der sechsten Aufgabe; das Minimum in der dritten Anordnung der dritten Aufgabe. Das zweite Buch über den bestimmten Schnitt hat drei Aufgaben, neun Anordnungen, drei Determinationen, von denen Minima sind in der dritten Anordnung der ersten Aufgabe und in der dritten Anordnung der zweiten Aufgabe, ein Maximum aber in der dritten Anordnung der dritten Aufgabe. Das erste Buch enthält sieben und zwanzig Lemmata, das zweite vier und zwanzig; in beiden zusammen finden sich drei und achtzig Theoreme.

Hierauf folgen zwei Bücher über Berührungen. In denselben scheinen mehrere Aufgaben enthalten zu sein, wir fassen sie aber in eine einzige zusammen, die so lautet: Wenn der Reihe nach von Punkten, geraden Linien, Kreisen beliebig drei der Lage nach gegeben sind, durch einen jeden der gegebenen Punkte, wenn nämlich Punkte gegeben sind, einen Kreis zu beschreiben, so dass er eine jede der gegebenen Linien berührt. Wegen der Mannigfaltigkeit des in den Voraussetzungen Gegebenen, das gleichartig oder ungleichartig sein kann, entstehen nothwendig zehn verschiedene Fälle, denn drei ungleichartige Dinge lassen sich, wenn man von ihrer Reihenfolge absieht, zu dreien zehnmal combiniren. Es sind nämlich gegeben entweder drei Punkte, oder drei gerade Linien, oder zwei Punkte und eine Gerade, oder zwei Gerade und ein Punkt, oder zwei Punkte und ein Kreis, oder zwei Kreise und ein Punkt, oder zwei Gerade und ein Kreis, oder zwei Kreise und eine Gerade, oder ein Punkt, eine gerade Linie und ein Kreis, oder drei Kreise. Von diesen Fällen werden die beiden ersten im vier-

Hosted by Google

τῶν πρώτων στοιχείων, ὅπερ ἦ μὲν γράφων·[1]) τὸ μὲν γὰρ τριῶν δοθέντων σημείων, μὴ ἐπ' εὐθείας ὄντων τὸ αὐτό ἐστι τῷ περὶ τὸ δοθὲν τρίγωνον κύκλον περιγράψαι· τὸ δὲ τριῶν δοθεισῶν εὐθειῶν μὴ παραλλήλων οὐσῶν, ἀλλὰ τῶν τριῶν συμπιπτουσῶν, τὸ αὐτό ἐστι τῷ εἰς τὸ δοθὲν τρίγωνον κύκλον ἐγράψαι· τὸ γὰρ δύο παραλλήλων οὐσῶν καὶ μιᾶς ἐμπιπτούσης ὡς μέρος ὂν τῆς τοῦ $\overline{\beta}$ ὑποδιαιρέσεως προγράφεται ἐν τούτοις πάντων. καὶ τὰ ἑξῆς ἓξ ἐν τῷ πρώτῳ βιβλίῳ, τὰ δὲ λειπόμενα δύο, τὸ δύο δοθεισῶν εὐθειῶν καὶ κύκλου, ἢ τριῶν δοθέντων κύκλων, μόνον ἐν τῷ δευτέρῳ βιβλίῳ, διὰ τὰς πρὸς ἀλλήλους θέσεις τῶν κύκλων τε καὶ εὐθειῶν πλείονας οὔσας καὶ πλειόνων διορισμῶν δεομένας. ταῖς προειρημέναις ἐπαφαῖς ὁμογενὲς πλῆθός ἐστι προβλημάτων παραλειπόμενον ἀπὸ τῶν ἀναδιδόντων καὶ προσανέδωκάν τισι πρότερον τε[2]) τῶν εἰρημένων δύο βιβλίων· εὐσύνοπτον γὰρ καὶ εἰσαγωγικὸν μᾶλλον ἦν, ἐντελές τε καὶ συμπληρωτικὸν τοῦ γένους τῶν ἐπαφῶν. πάλιν μιᾷ περιλαβὼν ἅπαντα προτάσει, ἥτις τῆς προειρημένης λείπουσα μὲν ὑποθέσει, περιττεύουσα δὲ ἐπιτάγματι οὕτως ἔχει· ἐκ σημείων καὶ εὐθειῶν καὶ κύκλων ὁποιωνοῦν δύο δοθέντων κύκλον γράψει τῷ μεγέθει δοθέντα διὰ τοῦ δοθέντος σημείου ἢ τῶν δοθέντων παραγινόμενον, εἰ δοθείη, ἐφαπτόμενον δὲ ἑκάστης τῶν δεδομένων γραμμῶν. αὕτη περιέχει προβλημάτων ἤδη τὸ πλῆθος ἓξ, ἐκ τριῶν γὰρ διαφορῶν τινῶν δυάδες ἄτακτοι διαφοραὶ γίγνονται τὸ πλῆθος ἓξ· ἤτοι γὰρ δύο δοθέντων σημείων, ἢ δύο δοθεισῶν εὐθειῶν, ἢ δύο δοθέντων κύκλων, ἢ σημείου καὶ εὐθείας, ἢ σημείου καὶ κύκλου, ἢ εὐθείας καὶ κύκλου, τὸν δεδομένον τῷ μεγέθει κύκλον ἀγαγεῖν δεῖ, ὡς εἴρηται. ταῦτα δέ ἀναλύσαι καὶ συνθεῖναι καὶ διορίσασθαι κατὰ πτῶσιν. ἔχει δὲ τὸ πρῶτον τῶν ἐπαφῶν προβλήματα ἑπτά, τὸ δὲ δεύτερον προβλήματα $\overline{\delta}$. λήμματα δὲ ἔχει τὰ δύο βιβλία $\overline{\kappa\alpha}$, αὐτὰ δὲ θεωρημάτων ἐστὶν $\overline{\xi}$.

---

[1]) So die Hdsch. oder ὅ *περὶ μὲν γράφων*; vielleicht ist ὅ *παρὰ γράφων* zu lesen.

[2]) So die Hdsch.; *Halley* hat diese Stelle so emendirt: *προσανέδωκαν δέ τινες προτέρῳ τῶν* etc.

Hosted by Google

ten Buch der Elemente dargethan, weshalb er sie bei Abfassung seiner Schrift überging, (wenn nämlich drei nicht in einer geraden Linie liegende Punkte gegeben sind, so ist das dasselbe als wenn um ein Dreieck ein Kreis zu beschreiben ist, und wenn drei nicht parallele, einander schneidende Linien gegeben sind, so ist dies gleich als ob ein Kreis einem Dreieck eingeschrieben werden soll) denn es wird die Aufgabe, wenn zwei parallele und eine sie schneidende Linie gegeben sind, gleichsam als ein besonderer Theil des zweiten Falles, allen andern vorausgeschickt. Dies und die folgenden sechs Fälle befinden sich in dem ersten Buche, die beiden übrigen, wenn zwei Gerade und ein Kreis, und wenn drei Kreise gegeben sind, enthält das zweite Buch, da die Lagen der Kreise und der Geraden zu einander mannigfach und mehrfache Determinationen nöthig sind. Den erwähnten Berührungen ist eine Sammlung von Aufgaben verwandt, die von den Herausgebern unbeachtet geblieben ist, einige aber haben sie dem ersten der beiden genannten Bücher hinzugefügt; denn sie war übersichtlich und zur Einführung passend abgefasst, auch vollständig und zur Ergänzung in Betreff der Lehre von den Berührungen geeignet. Auch sie lassen sich alle in einen Satz zusammenfassen, der dem obigen in Betreff der Voraussetzung nachsteht, aber in der Anordnung leichter ist; er lautet so: Wenn von beliebigen Punkten, Geraden und Kreisen zwei gegeben sind, einen der Grösse nach gegebenen Kreis zu construiren, der durch einen oder die beiden Punkte, wenn nämlich Punkte gegeben sind, geht und eine jede der gegebenen Linien berührt. Dieser Satz enthält sechs Aufgaben, denn aus drei verschiedenen Dingen entstehen, wenn die Reihenfolge nicht berücksichtigt wird, durch Combination zu zwei sechs verschiedene Fälle, nämlich wenn entweder zwei Punkte, oder zwei Gerade, oder zwei Kreise, oder ein Punkt und eine Gerade, oder ein Punkt und ein Kreis, oder eine Gerade und ein Kreis gegeben sind, einen der Grösse nach gegebenen Kreis zu ziehen, wie oben gesagt ist. Davon sind die Analysen, Synthesen und Determinationen in jedem einzelnen Falle zu machen. Das erste Buch von den Berührungen hat sieben Aufgaben, das zweite deren vier. Die beiden Bücher enthalten ein und zwanzig Lemmata und sechzig Theoreme.

Hosted by Google

*Μετὰ δὲ τὰς ἐπαφὰς ἐν τρισὶ βιβλίοις πορίσματά ἐστιν Εὐκλείδου πολλοῖς ἄθροισμα φιλοτεχνότατον εἰς τὴν ἀνάλυσιν τῶν ἐμβριθεστέρων προβλημάτων καὶ τῶν γενῶν ἀπερίληπτον· τῆς φύσεως παρεχομένης πλῆθος. οὐδὲν προστεθείκασι τοῖς ὑπὸ Εὐκλείδου γραφεῖσι πρώτου, χωρὶς εἰ μή τινες τῶν πρὸ ἡμῶν ἀπειρόκαλοι δευτέρας γραφὰς ὀλίγοις αὐτῶν παρατεθείκασιν, ἑκάστου μὲν πλῆθος ὡρισμένον ἔχοντος ἀποδείξεων, ὡς ἐδείξαμεν, τὴν δ' Εὐκλείδου μίαν ἑκάστου θέντος τὴν μάλιστα ὑπεμφαίνουσαν. ταῦτα δὲ λεπτὴν καὶ φυσικὴν ἔχει θεωρίαν καὶ ἀναγκαῖαν καὶ καθολικωτέραν καὶ τοῖς δυναμένοις ὁρᾶν καὶ πορίζειν ἐπιτερπῆ. ἅπαντα δὲ αὐτῶν τὰ εἴδη οὔτε θεωρημάτων ἐστὶν οὔτε προβλημάτων, ἀλλὰ μέση πως τούτων ἐχούσης ἰδέας, ὥστε τὰς προτάσεις αὐτῶν δύνασθαι σχηματίζεσθαι ἢ ὡς θεωρημάτων ἢ ὡς προβλημάτων· παρ' ὃ καὶ συμβέβηκεν, τῶν πολλῶν γεωμετρῶν τοὺς μὲν ὑπολαμβάνειν αὐτὰ εἶναι τῷ γένει θεωρήματα, τοὺς δὲ προβλήματα, ἀποβλέποντας τῷ σχήματι μόνον τῆς προτάσεως. τὴν δὲ διαφορὰν τῶν τριῶν τούτων ὅτι βέλτιον ᾔδεισαν οἱ ἀρχαῖοι, δῆλον ἐκ τῶν ὅρων· ἔφασαν γὰρ θεώρημα μὲν εἶναι τὸ προτεινόμενον εἰς ἀπόδειξιν αὐτοῦ τοῦ προτεινομένου, πρόβλημα δὲ τὸ προβαλλόμενον εἰς κατασκευὴν αὐτοῦ τοῦ προτεινομένου, πόρισμα δὲ τὸ προτεινόμενον εἰς πορισμὸν αὐτοῦ τοῦ προτεινομένου. μετεγράφη δὲ οὗτος ὁ τοῦ πορίσματος ὅρος ὑπὸ τῶν νεωτέρων μὴ δυναμένων ἅπαντα πορίζειν, ἀλλὰ συγχρωμένων τοῖς στοιχείοις τούτοις καὶ δεικνύντων αὐτὸ μόνον τοῦθ' ὅτι ἐστὶ τὸ ζητούμενον, μὴ πορίζόντων δὲ τοῦτο καὶ ἐλεγχομένων ὑπὸ τοῦ ὅρου καὶ τῶν διδασκομένων. ἔγραψαν δὲ ἀπὸ συμβεβηκότος οὕτως· πόρισμά ἐστι τὸ λεῖπον ὑποθέσει τοπικοῦ θεωρήματος. τούτου δὲ τοῦ γένους τῶν πορισμάτων εἶδός ἐστιν οἱ τόποι, καὶ πλεονάζουσιν ἐν τῷ ἀναλυομένῳ· κεχωρισμένων δὲ τῶν πορισμάτων, ἠθροισται καὶ ἐπιγράφεται καὶ παραδίδοται, διὰ τὸ πολύχυτον εἶναι μᾶλλον τῶν ἄλλων εἰδῶν. τῶν γοῦν τόπων ἐστὶ ἃ μὲν ἐπιπέδων, ἃ δὲ στερεῶν, ἃ δὲ γραμμικῶν, καὶ ἔτι [1]) τῶν πρὸς μεσότητας. συμβέβηκε δὲ καὶ τοῦτο τοῖς πορίσμασι, τὰς προτάσεις ἔχειν ἐπιτετμημένας διὰ τὴν σκολιότητα πολλῶν συνήθως συνυπακουομένων, ὥστε πολλοὺς τῶν γεωμετρῶν ἐπὶ*

[1]) So *Halley*; die Hdsch. haben ἐπὶ.

Hosted by Google

An die Schrift über die Berührungen reihen sich Euklid's Porismen in drei Büchern; es ist dies eine in vieler Hinsicht sehr kunstreiche Sammlung zur Analysis von schwierigeren Problemen und von Fällen, welche die Natur in unbegränzter Zahl darbietet. Dem was Euklid als der erste darüber geschrieben hat, ist nichts hinzugefügt worden, ausgenommen etwa, dass ehedem unverständige Leute einigen wenigen noch eine andere Fassung hinzusetzten, denn von der beschränkten Anzahl von Darstellungen, die ein jedes, wie wir gezeigt, bietet, hat Euklid nur eine und zwar die am meisten einleuchtende gegeben. Die Porismen gewähren eine feine, in der Natur begründete, zugleich nothwendige und sehr allgemeine Betrachtung, die für diejenigen, die sehen und ausmitteln können, interessant ist. Sie alle haben weder das Aussehen von Theoremen noch von Problemen, sondern fallen gewissermassen in die Mitte zwischen beiden, so dass sie entweder als Theoreme oder als Probleme gefasst werden können; daher ist es denn auch gekommen, dass viele Geometer sie zu den Theoremen rechneten, andere zu den Problemen, indem sie lediglich auf die Form der Fassung sahen. Die Alten aber erkannten den Unterschied dieser drei Gattungen besser, wie aus den Definitionen erhellt; sie nannten nämlich Theorem den Satz, der zum Behuf des Beweises vorgelegt wird, Problem das, dessen Construction gefunden werden soll, Porisma aber das, worin das Vorgelegte zu ermitteln ist. Diese Definition eines Porisma ist von Spätern abgeändert worden, denn sie vermochten nicht alles zu ermitteln, sondern berücksichtigten nur die ersten Forderungen, indem sie nur das zeigten, was gesucht wird, nicht aber ermittelten, und demnach sich nicht nach dem richteten, was die Definition und die dazu gegebene Anleitung vorschreiben. Sie stellten folgende Definition auf, die in gewissen Fällen zutrifft: Porisma ist dasjenige, dem die zu einem Ortstheorem gehörende Voraussetzung mangelt. Eine besondere Art von dergleichen Porismen sind die Oerter; sie finden sich häufig in den Schriften, die von dem rückwärts aufgelösten Ort handeln. Man hat sie von den Porismen gesondert, zusammengestellt, mit Aufschriften versehen und so verbreitet, da sie sich über ein grösseres Gebiet als die andern Arten erstrecken. Von den Oertern sind nämlich die einen ebene, andere körperliche, andere lineare, hierzu kommen noch die, welche sich auf mittlere Proportionalen beziehen. Bei den Porismen findet sich noch der

Hosted by Google

μέρους ἐκδέχεσθαι, τὰ δὲ ἀναγκαιότερα ἀγνοεῖν τῶν σημαινομένων. περιλαβεῖν δὲ πολλὰ μιᾷ προτάσει ἥκιστα [2]) δυνατὸν ἐν τούτοις, διὰ τὸ καὶ αὐτὸν Εὐκλείδην οὐ πολλὰ ἐξ ἑκάστου εἴδους τεθεικέναι, ἀλλὰ δείγματα ἕνεκα τῆς πολυπληθίας, ἐν ᾗ ὀλίγα πρὸς ἀρχὴν δεδομένων τοῦ πρώτου βιβλίου τέθεικεν ὁμοειδῆ, παρ' ἐκείνου τοῦ δαψιλεστέρου εἴδους τῶν τόπων, ὡς δέκα τὸ πλῆθος. διὸ καὶ περιλαβεῖν ταύτας μιᾷ προτάσει ἐνδεχόμενον εὑρόντες οὕτως ἐγράψαμεν· ἐὰν ὑπτίου ἢ παρυπτίου τρία τὰ ἐπὶ μιᾶς σημεῖα ᾖ παραλλήλου ἑτέρᾳ τὰ δεδομένα ᾖ, τὰ δὲ λοιπὰ πλὴν ἑνὸς ἅπτηται θέσει δεδομένης εὐθείας, καὶ τοῦθ' ἅψεται θέσει δεδομένης εὐθείας. τοῦτ' ἐπὶ τεσσάρων μὲν εὐθειῶν εἴρηται μόνων, ὧν οὐ πλείονες ἢ δύο διὰ τοῦ αὐτοῦ σημείου εἰσὶν· ἀγνοεῖται δὲ ἐπὶ παντὸς τοῦ προτεινομένου πλήθους ἀληθὲς ὑπάρχον οὕτω λεγόμενον. ἐὰν ὁποσαιοῦν εὐθεῖαι τέμνωσιν ἀλλήλας, μὴ πλείονες ἢ δύο διὰ τοῦ αὐτοῦ σημείου, πάντα δὲ ἐπὶ μιᾶς αὐτῶν δεδομένα ᾖ, καὶ τῶν ἐπὶ ἑτέρας ἕκαστον ἅπτηται θέσει δεδομένης εὐθείας, ἢ καθολικώτερον οὕτως· ἐὰν ὁποσαιοῦν εὐθεῖαι τέμνωσιν ἀλλήλας, μὴ πλείονες ἢ δύο διὰ τοῦ αὐτοῦ σημείου, πάντα δὲ τὰ ἐπὶ μιᾶς αὐτῶν σημεῖα δεδομένα ᾖ, τῶν δὲ λοιπῶν τὸ πλῆθος ἐχόντων τρίγωνον ἀριθμὸν, ἡ πλευρὰ τούτου ἕκαστον ἔχει σημεῖον ἁπτόμενον εὐθείας θέσει δεδομένης, ὧν τριῶν μὴ πρὸς γωνίαν ὑπάρχον τριγώνου γωνίου, ἕκαστον λοιπὸν σημεῖον ἅψεται θέσει δεδομένης εὐθείας. τὸν δὲ στοιχειωτὴν οὐκ εἰκὸς ἀγνοῆσαι τοῦτο, τὴν δ' ἀρχὴν μόνην τάξαι· καὶ ἐπὶ πάντων δὲ τῶν πορισμάτων φαίνεται ἀρχὰς καὶ σπέρματα μόνα πληθῶν πολλῶν καὶ μεγάλων καταβεβλημένας, ὧν ἕκαστον οὐ κατὰ τὰς τῶν ὑποθέσεων διαφορὰς διαστέλλειν δεῖ, ἀλλὰ κατὰ τὰς τῶν συμβεβηκότων καὶ ζητουμένων· αἱ μὲν ὑποθέσεις ἅπασαι διαφέρουσιν ἀλληλῶν εἰδικώταται οὖσαι, τῶν δὲ συμβαινόντων καὶ ζητουμένων ἕκαστον ἓν καὶ τὸ αὐτὸ ὂν πολλαῖς ὑποθέσεσι διαφόροις συμβέβηκε. ποιητέον οὖν ἐν μὲν τῷ πρώτῳ βιβλίῳ ταῦτα τὰ γένη τῶν ἐν ταῖς προτάσεσι ζητουμένων. ἐν ἀρχῇ μὲν τὸ ἕβδομον διάγραμμα τοῦτο· ἐὰν ἀπὸ δύο δεδομένων σημείων πρὸς θέσει δεδομένην εὐθεῖαν κλασθῶσιν, ἀποτέμνῃ δὲ μία ἀπὸ θέσει δεδομένης εὐθείας πρὸς τῷ ἐπ' αὐτῆς δεδομένῳ σημείῳ, ἀποτεμεῖ καὶ ἡ

---

[2]) So *Halley;* die Hdsch. haben *ἥδιστα.*

Umstand, dass die Fassung sehr kurz und zusammengedrängt ist, indem vieles, was man zu ergänzen pflegt, versteckt liegt, so dass viele Geometer sie nur zum Theil auffassen, die nothwendigeren Punkte aber nicht verstehen. Viele in einen Satz zusammenzufassen ist gar nicht möglich, da Euklid selbst nicht viel von jeder Art gegeben hat, sondern in Anbetracht der grossen Anzahl nur Proben; hiervon hat er einige wenige gleichartige, etwa zehn, die zu jener zahlreicheren Art von Oertern gehören, zu Anfang des ersten Buchs zusammengestellt. Desshalb ist es möglich, diese in einen Satz zusammenzufassen, den wir so ausdrücken: Wenn auf der einen von zwei convergenten Linien oder auf der einen von zwei Parallelen drei Punkte gegeben sind, die übrigen aber ausser einem in einer der Lage nach gegebenen Geraden liegen, so wird auch dieser letztere auf einer der Lage nach gegebenen Geraden liegen. Dies wird aber nur von vier Geraden behauptet, von welchen nicht mehr als zwei durch denselben Punkt gehen; es ist bisher unbekannt, dass dieser Satz für eine beliebige Anzahl Geltung hat und so lautet: Wenn beliebig viele Gerade sich schneiden, jedoch so, dass nicht mehr als zwei durch denselben Punkt gehen, alle Punkte aber auf einer derselben gegeben sind und ein jeder der auf einer andern Geraden liegenden Punkte auf einer der Lage nach gegebenen Geraden liegt, oder allgemeiner: Wenn beliebig viele Gerade sich schneiden, jedoch so, dass nicht mehr als zwei durch denselben Punkt gehen, alle Punkte aber in der einen derselben gegeben sind, ein jeder der übrigen aber, deren Anzahl eine Triangularzahl, auf der Seite dieses Dreiecks sich befindet, und zwar so, dass er auf einer der Lage nach gegebenen Geraden liegt und drei davon nicht die Spitzen eines Dreiecks bilden, so wird ein jeder andere Punkt auf einer der Lage nach gegebenen Geraden liegen. Es ist nicht wahrscheinlich, dass der Verfasser der Elemente dies nicht gewusst haben sollte, er wollte vielmehr nur die Grundlage feststellen, ebenso wie er auch in allen seinen Porismen offenbar nur die ersten Anfänge und den Samen von zahlreichen und grossen Gruppen ausgestreut hat, von denen man eine jede nicht nach der Verschiedenheit der Annahmen anordnen muss, sondern nach dem, worin sie sich durch das zufällig Hinzukommende und durch das Gesuchte unterscheiden. Alle Annahmen unterscheiden sich von einander, da sie sehr specieller Natur sind, hingegen ist jedes zufällig Hinzukommende und jedes Gesuchte, indem es ein und dasselbe bleibt, in vielen verschiedenen Annahmen vorhanden. Im ersten Buche ist nun in Rücksicht auf das in den vorgelegten Sätzen Gesuchte folgende Zusammenstellung zu machen. Zuerst lautet der siebente Satz so: Wenn von zwei gegebenen Punkten zwei Gerade nach einer der Lage nach gegebenen Geraden gehen und die eine auf einer der Lage nach gegebenen Geraden bis zu dem auf ihr gegebenen Punkte ein



Hosted by Google

ἑτέρα ἀπὸ ἑτέρας λόγον ἔχουσαν δοθέντα· ἐν δὲ τοῖς ἑξῆς· ὅτι τόδε τὸ σημεῖον ἅπτεται θέσει δεδομένης εὐθείας· ὅτι λόγος τῆσδε πρὸς τήνδε δοθείς· ὅτι λόγος τῆσδε πρὸς ἀποτομήν· ὅτι ἥδε θέσει δεδομένη ἐστίν· ὅτι ἥδε ἐπὶ δοθὲν νεύει· ὅτι λόγος τῆσδε πρός τινα ἀπὸ τοῦδε ἕως δοθέντος· ὅτι λόγος τῆσδε πρός τινα ἀπὸ τοῦδε κατηγμένην·[1] ὅτι λόγος τοῦδε τοῦ χωρίου πρὸς τὸ ὑπὸ δοθείσης καὶ τῆσδε· ὅτι τοῦδε τοῦ χωρίου ὁ μέν τι δοθέν ἐστιν, ὁ δὲ λόγον ἔχει πρὸς ἀποτομήν· ὅτι τόδε τὸ χωρίον ἢ τόδε μετά τινος χωρίου δοθέντος ἐστίν, ἐκεῖνο δὲ λόγον ἔχει πρὸς ἀποτομήν. ὅτι ἥδε μεθ' ἧς πρὸς ἣν ἥδε λόγον ἔχει δοθέντα, λόγον ἔχει πρός τινα ἀπὸ τοῦδε ἕως δοθέντος· ὅτι τὸ ὑπὸ δοθέντος καὶ τῆσδε ἴσον ἐστὶ τῷ ὑπὸ δοθέντος καὶ [τῆς][2] ἀπὸ τοῦδε ἕως δοθέντος· ὅτι λόγος τῆσδε καὶ τῆσδε πρός τινα ἀπὸ τοῦδε ἕως δοθέντος· ὅτι ἥδε ἀποτέμνει ἀπὸ θέσει δεδομένων δοθὲν περιεχούσας. ἐν δὲ τῷ δευτέρῳ βιβλίῳ ὑποθέσεις μὲν ἑτέραι, τῶν δὲ ζητουμένων τὰ μὲν πλείονα τὰ αὐτὰ τοῖς ἐν τῷ πρώτῳ βιβλίῳ, περισσὰ δὲ ταῦτα· ὅτι τόδε τὸ χωρίον ἤτοι λόγον ἔχει πρὸς ἀποτομὴν [ἢ][3] μετὰ δοθέντος λόγον ἔχει πρὸς ἀποτομήν· ὅτι λόγος τοῦ ὑπὸ τῶνδε πρὸς ἀποτομήν· ὅτι λόγος τοῦ ὑπὸ συναμφοτέρου τῶνδε καὶ συναμφοτέρων τῶνδε

---

[1]) So *Halley*; die Hdsch. haben *κατηγμένης*.

[2]) Einschaltung von *Halley*.

[3]) Einschaltung von *Halley*.

Hosted by Google

Stück abschneidet, so schneidet auch die andere auf einer andern ein Stück ab, das ein gegebenes Verhältniss hat; und in den folgenden Sätzen heisst es: Dass dieser Punkt auf einer der Lage nach gegebenen Linie liegt; dass das Verhältniss dieser Geraden zu der gegeben ist; dass das Verhältniss dieser Geraden zu einem Abschnitt gegeben ist; dass diese Gerade der Lage nach gegeben ist; dass diese Gerade durch einen gegebenen Punkt geht; dass das Verhältniss dieser Geraden zu einer gewissen, die von diesem Punkt bis zu einem gegebenen geht, gegeben ist; dass das Verhältniss dieser Geraden zu einer gewissen von diesem Punkte gezogenen gegeben ist; dass das Verhältniss dieses Rechtecks zu dem aus einer gegebenen Geraden und dieser Geraden construirten gegeben ist; dass die eine Seite dieses Rechtecks gegeben ist, die andere ein Verhältniss zu einem Segment hat; dass dieses Rechteck oder ein solches nebst irgend einem gegebenen Rechteck gegeben ist, jenes aber ein Verhältniss zu einem Segment hat; dass diese Gerade zugleich mit einer solchen, zu der sie ein gegebenes Verhältniss hat, ein Verhältniss zu einer gewissen Geraden zwischen diesem und einem gegebenen Punkt hat; dass der Raum zwischen einem gegebenen Punkt und dieser Geraden gleich ist dem zwischen einem gegebenen Punkt und der Geraden zwischen diesem und einem gegebenen Punkt; dass das Verhältniss dieser und dieser Geraden zu irgend einer zwischen diesem und einem gegebenen Punkt gegeben ist; dass diese Gerade von zwei der Lage nach gegebenen Geraden Segmente abschneidet, die ein gegebenes Rechteck einschliessen. In dem zweiten Buche sind die Voraussetzungen andere, das Meiste aber von dem Gesuchten stimmt mit dem im ersten Buche überein; ausserdem findet sich folgendes darin: dass dieses Rechteck entweder allein oder zugleich mit einem gegebenen ein Verhältniss zu einem Segment habe; dass das Verhältniss des Rechtecks aus diesen zum Segment gegeben ist; dass das Verhältniss des Rechtecks aus der Summe dieser beiden Geraden und aus der Summe dieser beiden Geraden zu einem Segment gegeben ist; dass das Rechteck aus dieser Geraden und aus dieser vermehrt um eine Gerade, zu welcher diese ein gege-



Hosted by Google

πρὸς ἀποτομὴν· ὅτι τὸ ὑπὸ τῆσδε καὶ συναμφοτέρου τῆσδε τε καὶ τῆς πρὸς ἣν ἥδε λόγον ἔχει δοθέντα καὶ τὸ ὑπὸ τῆσδε καὶ τῆς πρὸς ἣν ἥδε λόγον ἔχει δοθέντα λόγον ἔχει πρὸς ἀποτομὴν· ὅτι λόγος συναμφοτέρου πρός τινα ἀπὸ τοῦδε ἕως δοθέντος· ὅτι δοθὲν τὸ ὑπὸ τῶνδε. ἐν δὲ τῷ τρίτῳ βιβλίῳ αἱ μὲν πλείονες ὑποθέσεις ἐπὶ ἡμικυκλίων εἰσὶν, ὀλίγαι δὲ ἐπὶ κύκλου καὶ τμημάτων· τῶν δὲ ζητουμένων τὰ μὲν πολλὰ παραπλησίως τοῖς ἔμπροσθεν, περισσὰ δὲ ταῦτα· ὅτι λόγος τοῦ ὑπὸ τῶνδε πρὸς τὸ ὑπὸ τῶνδε· ὅτι λόγος τοῦ ἀπὸ τῆσδε πρὸς ἀποτομὴν· ὅτι τὸ ὑπὸ τῶνδε τῷ ὑπὸ δοθείσης καὶ [τῆς] [1]) ἀπὸ τοῦδε ἕως δοθέντος· ὅτι τὸ ἀπὸ τῆσδε τῷ ὑπὸ δοθέντος καὶ ἀπολαμβανομένης ὑπὸ καθέτου ἕως δοθέντος· ὅτι συναμφότερος καὶ πρὸς ἣν ἥδε λόγον ἔχει δοθέντα λόγον ἔχει πρὸς ἀποτομὴν· ὅτι ἐστί τι δοθὲν σημεῖον ἀφ' οὗ αἱ ἐπιζευγνύμεναι ἐπὶ τόδε δοθὲν περιέξουσι τῷ εἴδει τρίγωνον· ὅτι ἐστί τι δοθὲν σημεῖον ἀφ' οὗ αἱ ἐπιζευγνύμεναι ἐπὶ τόδε ἴσας ἀπολαμβάνουσι περιφερείας· ὅτι ἥδε ἐν τῇ παραθέσει ἔσται ἢ μετά τινος εὐθείας ἐπὶ τὸ δοθὲν νευούσης δοθεῖσαν περιέχει γωνίαν. ἔχει δὲ τὰ τρία βιβλία τῶν ποισμάτων λήμματα $\overline{\text{λη}}$, αὐτὰ δὲ θεωρημάτων ἐστὶν $\overline{\text{ροα}}$.

## Τόπων ἐπιπέδων δύο.

Τῶν τόπων καθόλου οἱ μέν εἰσιν ἐφεκτικοὶ, οὕς καὶ Ἀπολλώνιος πρὸ τῶν ἰδίων στοιχείων λέγει σημείου μὲν τόπον σημεῖον, γραμμῆς δὲ τόπον γραμμὴν, ἐπιφανείας δὲ ἐπιφάνειαν, στερεοῦ δὲ στερεόν· οἱ δὲ διεξοδικοὶ, ὡς σημείου μὲν γραμμὴν, γραμμῆς ἐπιφάνειαν, ἐπιφανείας δὲ στερεόν· οἱ δὲ ἀναστροφικοὶ, ὡς σημείου μὲν ἐπιφάνειαν, γραμμῆς δὲ στερεόν. τῶν δὲ ἐν τῷ ἀναλυομένῳ, οἱ μὲν τῶν δέθει δεδο-

[1]) Einschaltung von *Halley*.

Hosted by Google

Ἐχέτω δὴ πάλιν ὅλη ἡ αγ πρὸς ὅλην τὴν δζ μείζονα λόγον ἥπερ ἡ αβ πρὸς τὴν δε· ὅτι καὶ λοιπὴ ἡ βγ πρὸς λοιπὴν τὴν εζ μείζονα λόγον ἔχει ἥπερ ἡ αγ πρὸς τὴν δζ. [Πεποιήσθω γὰρ ὡς ἡ αγ πρὸς τὴν δζ] [2]) οὕτως ἡ αβ πρὸς τὴν δη· καὶ λοιπὴ ἄρα ἡ βγ πρὸς λοιπὴν τὴν ηζ ἐστὶν ὡς ἡ αγ πρὸς τὴν δζ. ἡ δὲ βγ πρὸς τὴν εζ [μείζονα λόγον ἔχει ἥπερ πρὸς τὴν ζη]· [3]) καὶ ἡ βγ ἄρα πρὸς τὴν εζ μείζονα λόγον ἔχει ἥπερ ἡ αγ πρὸς τὴν δζ. ἐὰν δὲ ὅλη πρὸς τὴν ὅλην ἐλάσσων, ἡ λοιπὴ ἐλάσσων. [4])

Ἔστω μεῖζον μὲν τὸ αβ τοῦ γ, ἴσον δὲ τὸ δ τῷ ε· ὅτι τὸ αβ πρὸς τὸ γ μείζονα λόγον ἔχει ἥπερ τὸ δ πρὸς τὸ ε. Κείσθω γὰρ τῷ γ ἴσον τὸ βζ· ἔστιν ἄρα ὡς τὸ βζ πρὸς τὸ γ οὕτω τὸ δ πρὸς τὸ ε. ἀλλὰ τὸ αβ πρὸς τὸ γ μείζονα λόγον ἔχει ἥπερ τὸ βζ πρὸς τὸ γ· καὶ τὸ αβ ἄρα πρὸς τὸ γ μείζονα λόγον ἔχει ἥπερ τὸ δ πρὸς τὸ ε. καὶ φανερὸν ὅτι ἂν ἔλασσον τὸ αβ τοῦ γ, τὸ αβ πρὸς τὸ γ ἐλάσσονα λόγον ἔχει ἥπερ τὸ δ πρὸς τὸ ε, διὰ τὸ ἀνάπαλιν.

Ἀλλὰ ἔστω μεῖζον μὲν τὸ αβ τοῦ γ, ἔλασσον δὲ τὸ δε τοῦ ζ· ὅτι τὸ αβ πρὸς τὸ γ μείζονα λόγον ἔχει ἥπερ τὸ δε πρὸς τὸ ζ. Φανερὸν μὲν οὖν καὶ ἄνευ [5]) ἀποδείξεως. εἰ γὰρ

---

[1]) So die Hdsch.; *Commandin* emendirt: κἂν ἐλάσσων τοῦ μέρους, μείζων ὅλης.

[2]) Einschaltung von *Commandin*.

[3]) Einschaltung von *Commandin*.

[4]) So emendirt *Commandin*; die Hdsch. haben μείζων.

[5]) So emendirt *Commandin*; die Hdsch. haben διά.

Hosted by Google

Ist $\alpha\beta : \delta\varepsilon > \beta\gamma : \varepsilon\zeta$, so ist auch $\alpha\beta : \delta\varepsilon$ [*Command. VIII.*] $> \alpha\gamma : \delta\zeta$.




Macht man nämlich $\alpha\beta : \delta\varepsilon = \beta\gamma$ zu irgend einer Linie, so wird diese kleiner sein als $\varepsilon\zeta$. Sie sei $= \eta\varepsilon$. Demnach ist $\alpha\gamma : \delta\eta = \alpha\beta : \delta\varepsilon$, aber $\alpha\gamma : \delta\eta > \alpha\gamma : \delta\zeta$, mithin ist auch $\alpha\beta : \delta\varepsilon > \alpha\gamma : \delta\zeta$. — Offenbar ist $\alpha\gamma : \delta\zeta < \alpha\beta : \delta\varepsilon$. — Und wenn das Verhältniss des Theiles kleiner ist, so ist das Verhältniss der ganzen Linie grösser. [1])

Ist wiederum $\alpha\gamma : \delta\zeta > \alpha\beta : \delta\varepsilon$, so ist auch [*Command. IX.*] $\beta\gamma : \varepsilon\zeta > \alpha\gamma : \delta\zeta$.




Man mache $\alpha\gamma : \delta\zeta = \alpha\beta : \delta\eta$;
alsdann ist $\beta\gamma : \eta\zeta = \alpha\gamma : \delta\zeta$.
Aber $\beta\gamma : \varepsilon\zeta > \beta\gamma : \eta\zeta$,
folglich $\beta\gamma : \varepsilon\zeta > \alpha\gamma : \delta\zeta$.

Ist das Verhältniss der ganzen Linie zur ganzen Linie kleiner, so ist auch das des Restes zum Reste kleiner.

Es sei $\alpha\beta > \gamma$, $\delta = \varepsilon$, so ist $\alpha\beta : \gamma > \delta : \varepsilon$. [*Command. X.*]




Ist nämlich $\beta\zeta = \gamma$, so ist
$\beta\zeta : \gamma = \delta : \varepsilon$;
aber $\alpha\beta : \gamma > \beta\zeta : \gamma$,
mithin $\alpha\beta : \gamma > \delta : \varepsilon$.
Offenbar ist, wenn $\alpha\beta < \gamma$, $\alpha\beta : \gamma < \delta : \varepsilon$.

Wenn aber $\alpha\beta > \gamma$, $\delta\varepsilon < \zeta$, so ist $\alpha\beta : \gamma$ [*Command. XI.*] $> \delta\varepsilon : \zeta$.




Dies ist deutlich ohne Beweis, denn wenn unter der Voraussetzung,

[1]) d. h. wenn $\alpha\beta : \delta\varepsilon < \beta\gamma : \varepsilon\zeta$, so ist $\alpha\gamma : \delta\zeta > \alpha\beta : \delta\varepsilon$.

Hosted by Google

ὄντος ἴσου τοῦ δε τῷ ζ τὸ αβ πρὸς τὸ γ μείζονα λόγον ἔχει ἤπερ τὸ δε πρὸς τὸ ζ, ἐλάσσονος ὄντος πολλῷ μείζονα λόγον ἕξει. διὰ ἀποδείξεως δὲ οὕτως· ἐπεὶ γὰρ μεῖζόν ἐστι τὸ αβ τοῦ γ, ἐὰν ποιῶ ὡς τὸ αβ πρὸς τὸ γ οὕτως ἄλλό τι πρὸς τὸ ζ, ἔσται μεῖζον τοῦ ζ, ὥστε καὶ τοῦ δε. ἔστω οὖν αὐτῷ ἴσον τὸ ηε· τὸ ηε ἄρα πρὸς τὸ ζ μείζονα λόγον ἔχει ἤπερ τὸ δε πρὸς τὸ ζ. ἀλλ' ὡς τὸ ηε πρὸς τὸ ζ οὕτω τὸ αβ πρὸς τὸ γ· καὶ τὸ αβ ἄρα πρὸς τὸ γ μείζονα λόγον ἔχει ἤπερ τὸ δε πρὸς τὸ ζ. καὶ φανερὸν ὅτι ὅπου τὸ ἔλασσον, ἀεὶ ἐλάσσονα. καὶ ὅτι μεῖζον γίνεται τὸ ὑπὸ τῶν αβ, ζ τοῦ ὑπὸ τῶν γ,δε· ἴσον γὰρ αὐτῷ ἐστι τὸ ὑπὸ τῶν γ,εη, ὅ ἐστι μεῖζον τοῦ ὑπὸ τῶν γ,δε.

Εὐθεῖα ἡ αβ καὶ τετμήσθω κατὰ τὸ γ· ὅτι πάντα μὲν τὰ μεταξὺ τῶν α, γ σημείων εἰς ἐλάσσονας λόγους διαιρεῖ τὴν αβ τοῦ τῆς αγ πρὸς τὴν γβ, πάντα δὲ τὰ μεταξὺ τῶν γ, β εἰς μείζονας. Εἰλήφθω γὰρ σημεῖα ἐφ' ἑκατέρᾳ τοῦ γ τὰ δ, ε. ἐπεὶ οὖν ἐλάσσων μὲν ἡ δα τῆς αγ, μείζων δὲ ἡ δβ τῆς βγ, ἡ δα πρὸς τὴν αγ ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ δβ πρὸς τὴν βγ· ἐναλλὰξ ἡ αδ πρὸς τὴν δβ ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ αγ πρὸς τὴν γβ. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ἐπὶ πάντων τῶν μεταξὺ τῶν α, γ σημείων. πάλιν ἐπεὶ μείζων μέν ἐστιν ἡ εα τῆς αγ, ἐλάσσων δὲ ἡ εβ τῆς βγ, ἡ εα ἄρα πρὸς τὴν αγ μείζονα λόγον ἔχει ἤπερ ἡ εβ πρὸς τὴν βγ· ἐναλλὰξ ἄρα ἡ αε πρὸς τὴν εβ μείζονα λόγον ἔχει ἤπερ ἡ αγ πρὸς τὴν γβ. ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν μεταξὺ καὶ τῶν γ, β λαμβανομένων σημείων.

Ἐὰν εὐθεῖα ᾖ αβ καὶ τμηθῇ δίχα κατὰ τὸ γ, πάντων τῶν λαμβανομένων σημείων μέγιστον ἀποτέμνει τὸ ὑπὸ τῶν αγβ τὸ γ σημεῖον. Ἐὰν γὰρ ληφθῇ σημεῖον τὸ δ, γίνεται τὸ ὑπὸ τῶν αδβ μετὰ τοῦ ἀπὸ γδ ἴσον τῷ ἀπὸ αγ, τουτέστι τῷ ὑπὸ τῶν αγβ· ὥστε μεῖζόν ἐστι τὸ ὑπὸ τῶν αδβ. τὰ δὲ αὐτὰ καὶ ἐπὶ τὰ ἕτερα. λέγω δ' ὅτι καὶ αἰεὶ τὸ ἔγγιον τοῦ γ τοῦ ἀπωτέρου μεῖζον χωρίον ποιεῖ. εἰλήφθω γὰρ καὶ ἕτερον σημεῖον τὸ ε μεταξὺ τῶν α, δ· δεικτέον ὅτι μεῖζόν ἐστι τὸ ὑπὸ τῶν αδβ τοῦ ὑπὸ τῶν αεβ. ἐπεὶ γὰρ τὸ ὑπὸ τῶν αδβ

Hosted by Google

dass $\delta\varepsilon = \zeta$, $\alpha\beta : \gamma > \delta\varepsilon : \zeta$, so wird, wenn $\delta\varepsilon < \zeta$, $\alpha\beta : \gamma$ noch um vieles grösser sein. Bewiesen wird es auf folgende Weise: Da $\alpha\beta > \gamma$, so wird, wenn man setzt $\alpha\beta : \gamma$ wie irgend eine andere Linie zu $\zeta$, diese andere Linie grösser als $\zeta$ sein, daher auch $> \delta\varepsilon$. Dieselbe sei $= \eta\varepsilon$. Alsdann ist

$$\eta\varepsilon : \zeta > \delta\varepsilon : \zeta,$$

aber $\eta\varepsilon : \zeta = \alpha\beta : \gamma,$

mithin $\alpha\beta : \gamma > \delta\varepsilon : \zeta.$

Offenbar ist auch, wenn $\alpha\beta < \gamma$, das Verhältniss ein kleineres. Ferner ist Rechteck $\alpha\beta \,.\, \zeta >$ Rechteck $\gamma \,.\, \delta\varepsilon$, denn es ist Rechteck $\alpha\beta \,.\, \zeta =$ Rechteck $\gamma \,.\, \varepsilon\eta$, dieses aber ist grösser als Rechteck $\gamma \,.\, \delta\varepsilon$.

Es sei die Gerade $\alpha\beta$ im Punkte $\gamma$ ge- [*Command. XII*] theilt, so werden alle Punkte zwischen $\alpha$ und $\gamma$ die Gerade $\alpha\beta$ in kleinere Verhältnisse, alle Punkte aber zwischen $\gamma$ und $\beta$ in grössere Verhältnisse als $\alpha\gamma : \gamma\beta$ theilen.

$\alpha$ $\delta$ $\gamma$ $\varepsilon$ $\beta$

Man nehme auf beiden Seiten des Punktes $\gamma$ die Punkte $\delta$, $\varepsilon$ an. Da nun $\delta\alpha < \alpha\gamma$, $\delta\beta > \beta\gamma$, so ist $\delta\alpha : \alpha\gamma < \delta\beta : \beta\gamma$, mithin $\delta\alpha : \delta\beta < \alpha\gamma : \beta\gamma$. Auf ähnliche Weise lässt es sich von allen zwischen $\alpha$ und $\gamma$ liegenden Punkten beweisen. Da ferner $\varepsilon\alpha > \alpha\gamma$, $\varepsilon\beta < \beta\gamma$, so ist auch $\varepsilon\alpha : \alpha\gamma > \varepsilon\beta : \beta\gamma$, mithin $\varepsilon\alpha : \varepsilon\beta > \alpha\gamma : \gamma\beta$. Auf gleiche Weise wird es in Bezug auf andere zwischen $\gamma$ und $\beta$ angenommene Punkte bewiesen.

Wenn die Gerade $\alpha\beta$ im Punkte $\gamma$ halbirt [*Command. XIII*] wird, so theilt unter allen andern angenommenen Punkten der Punkt $\gamma$ die Linie so, dass das Rechteck $\alpha\gamma \,.\, \gamma\beta$ ein Maximum ist.

$\alpha$ $\varepsilon$ $\delta$ $\gamma$ $\beta$

Nimmt man einen Punkt $\delta$ an, so ist Reckteck $\alpha\delta \,.\, \delta\beta$ + Quadrat über $\gamma\delta$ = Quadrat über $\alpha\gamma$ = Rechteck $\alpha\gamma \,.\, \gamma\beta$, mithin Rechteck $\alpha\gamma \,.\, \gamma\beta >$ Rechteck $\alpha\delta \,.\, \delta\beta$. Dasselbe gilt von allen übrigen Punkten. — Auch schneidet [*Command. XIV.*] der dem Punkte $\gamma$ nähere Punkt ein grösseres Rechteck ab, als der entferntere. Nimmt man nämlich einen andern Punkt $\varepsilon$ zwischen $\alpha$ und $\delta$ an, so ist zu zeigen, dass Rechteck $\alpha\delta \,.\, \delta\beta >$ Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\beta$. Da

Hosted by Google

μετὰ τοῦ ἀπὸ δγ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς αγ, ἔστι δὲ καὶ ὑπὸ τῶν αεβ μετὰ τοῦ ἀπὸ τῆς γε ἴσον τῷ ἀπὸ τῆς αγ τετραγώνῳ· καὶ τὸ ὑπὸ τῶν αδβ ἄρα μετὰ τοῦ ἀπὸ δγ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν αεβ μετὰ τοῦ ἀπὸ τῆς γε, ὧν τὸ ἀπὸ δγ ἔλασσόν ἐστι τοῦ ἀπὸ γε· λοιπὸν ἄρα τὸ ὑπὸ τῶν αδβ μεῖζόν ἐστι τοῦ ὑπὸ τῶν αεβ.

Εἰ γὰρ εἴη τὸ α μετὰ τοῦ β ἴσον τῷ γ μετὰ τοῦ δε, καὶ ἔλασσον τὸ β τοῦ δε· μεῖζον ἂν γένοιτο τὸ α τοῦ γ. Κείσθω γὰρ τῷ β ἴσον τὸ δζ· τὸ α ἄρα μετὰ τοῦ δζ ἴσον ἐστὶ τῷ δε μετὰ τοῦ γ. κοινὸν ἀφῃρήσθω τὸ δζ· λοιπὸν ἄρα τὸ α ἴσον ἐστὶ τοῖς γ, ζε, ὥστε μεῖζόν ἐστι τὸ α τοῦ γ.

Ἡ α πρὸς τὴν β μείζονα λόγον ἐχέτω ἥπερ η γ πρὸς τὴν δ· ὅτι μεῖζόν ἐστι τὸ ὑπὸ τῶν α,δ τοῦ ὑπὸ τῶν β,γ. Πεποιήσθω γὰρ ὡς ἡ α πρὸς τὴν β οὕτως ἡ γ πρὸς τὴν ε· καὶ ἡ γ ἄρα πρὸς τὴν ε μείζονα λόγον ἔχει ἥπερ πρὸς τὴν δ, ὥστε ἐλάσσων ἐστὶν ἡ ε τῆς δ· καὶ κοινὸν ὕψος ἡ α, ἔλασσον ἄρα ἐστὶ τὸ ὑπὸ τῶν ε,α τοῦ ὑπὸ τῶν α,δ. ἀλλὰ τὸ ὑπὸ τῶν α,ε ἴσον ἐστὶ τῷ ὑπὸ τῶν β,γ. ἔλασσον ἄρα ἐστὶ τὸ ὑπὸ τῶν β,γ τοῦ ὑπὸ τῶν α,δ, ὥστε μεῖζόν ἐστι τὸ ὑπὸ τῶν α,δ τοῦ ὑπὸ τῶν β,γ. ὁμοίως καὶ ἐὰν ἐλάσσων ὁ λόγος γίνηται, ἔλασσον καὶ τὸ χωρίον τοῦ χωρίου. ἀλλὰ δὴ ἔστω πάλιν μεῖζον τὸ ὑπὸ τῶν α,δ τοῦ ὑπὸ τῶν β,γ, ὅτι ἡ α πρὸς τὴν β μείζονα λόγον ἔχει ἥπερ ἡ γ πρὸς τὴν δ. κείσθω γὰρ τῷ ὑπὸ τῶν α,δ ἴσον τὸ ὑπὸ τῶν β,ε· γίνεται ἄρα μεῖζον μὲν τὸ ὑπὸ τῶν β,ε τοῦ ὑπὸ τῶν β,γ, ὥστε καὶ ἡ ε τῆς γ μείζων. ὡς δὲ ἡ α πρὸς τὴν β οὕτως ἡ ε πρὸς τὴν δ, ἡ δὲ ε πρὸς τὴν δ μείζονα λόγον ἔχει ἥπερ ἡ γ πρὸς τὴν δ. καὶ ἡ α ἄρα πρὸς τὴν β. ὁμοίως καὶ ἀναστρέψαντι.

Δύο εὐθεῖαι αἱ αβ, βγ καὶ τῶν αβ, βγ μέση ἀνάλογον ἔστω ἡ βδ, καὶ τῇ αδ ἴση κείσθω ἡ δε· ὅτι ἡ γε ὑπεροχή ἐστιν ἧ ὑπερέχει συναμφότερος ἡ αβ, βγ τῆς δυναμένης τὸ τετράκις ὑπὸ τῶν αβγ. Ἐπεὶ γὰρ συναμφότερος ἡ αβγ συναμφοτέρου τῆς αβε ὑπερέχει τῇ γε, ἡ γε ἄρα ἐστὶν ἡ ὑπεροχὴ ἧ ὑπερέχει συναμφότερος ἡ αβγ συναμφοτέρου τῆς αβε· συν-

Hosted by Google

Rechteck $\alpha\delta \,.\, \delta\beta$ + Quadrat über $\delta\gamma$ = Quadrat über $\alpha\gamma$, und
Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\beta$ + Quadrat über $\gamma\varepsilon$ = Quadrat über $\alpha\gamma$, so ist
Rechteck $\alpha\delta \,.\, \delta\beta$ + Quadrat über $\delta\gamma$ = Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\beta$ +
Quadrat über $\gamma\varepsilon$;
nun ist Quadrat über $\delta\gamma <$ Quadrat über $\gamma\varepsilon$,
folglich Rechteck $\alpha\delta \,.\, \delta\beta >$ Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\beta$.

Wenn $\alpha + \beta = \gamma + \delta\varepsilon$ und $\beta < \delta\varepsilon$, [*Command. XV.*] so ist $\alpha > \gamma$.




Es sei $\delta\zeta = \beta$, so ist $\alpha + \delta\zeta = \delta\varepsilon + \gamma$. Subtrahirt man die gemeinschaftliche $\delta\zeta$, so ist $\alpha = \gamma + \zeta\varepsilon$, daher $\alpha > \gamma$.

Ist $\alpha : \beta > \gamma : \delta$, so ist Rechteck [*Command. XVI.*] $\alpha \,.\, \delta >$ Rechteck $\beta \,.\, \gamma$.




Macht man $\alpha : \beta = \gamma : \varepsilon$, so ist $\gamma : \varepsilon > \gamma : \delta$, mithin $\varepsilon < \delta$, folglich wenn $\alpha$ als gemeinsame Höhe angenommen wird, Rechteck $\varepsilon \,.\, \alpha <$ Rechteck $\alpha \,.\, \delta$. Aber Rechteck $\varepsilon \,.\, \alpha =$ Rechteck $\beta \,.\, \gamma$, mithin Rechteck $\beta \,.\, \gamma <$ Rechteck $\alpha \,.\, \delta$ oder Rechteck $\alpha \,.\, \delta >$ Rechteck $\beta \,.\, \gamma$. Auf ähnliche Weise lässt sich zeigen, dass wenn das Verhältniss ein kleineres ist, auch das eine Rechteck kleiner als das andere sein wird.

Ist aber Rechteck $\alpha \,.\, \delta >$ Rechteck $\beta \,.\, \gamma$, so ist auch $\alpha : \beta > \gamma : \delta$. Setzt man nämlich Rechteck $\alpha \,.\, \delta =$ Rechteck $\beta \,.\, \varepsilon$, so ist Rechteck $\beta \,.\, \varepsilon >$ Rechteck $\beta \,.\, \gamma$, mithin $\varepsilon > \gamma$. Aber $\alpha : \beta = \varepsilon : \delta$, und $\varepsilon : \delta > \gamma : \delta$, folglich $\alpha : \beta > \gamma : \delta$. — Auf ähnliche Weise wird bewiesen, dass wenn das Rechteck kleiner ist, auch das Verhältniss kleiner sein wird.

Zwischen den beiden gegebenen Geraden [*Command. XVII.*] $\alpha\beta$, $\beta\gamma$ sei die mittlere Proportionale $\beta\delta$, und $\delta\varepsilon = \alpha\delta$, so ist $\gamma\varepsilon$ der Ueberschuss, um welchen $\alpha\beta + \beta\gamma$ grösser ist, als die, deren Quadrat = 4 Rechteck $\alpha\beta \,.\, \beta\gamma$.

Hosted by Google

*αμφότερος δὲ ἡ αβε δύο εἰσὶν αἱ βδ, δύο δὲ αἱ βδ δύνανται τὸ τετράκις ὑπὸ τῶν αβγ· ἡ γε ἄρα ἐστὶν ἡ ὑπεροχὴ ᾗ ὑπερέχει συναμφότερος ἡ αβγ τῆς δυναμένης τὸ τετράκις ὑπὸ τῶν αβγ.*

*Ἔστω δὴ πάλιν ἡ τῶν αβ, βγ μέση ἡ βδ, καὶ κείσθω τῇ αδ ἴση ἡ δε· ὅτι ἡ γε σύγκειται ἔκ τε συναμφοτέρου τῆς αβ, βγ καὶ τῆς δυναμένης τὸ τετράκις ὑπὸ τῶν αβ, βγ. Ἐπεὶ γὰρ ἡ γε ἐστὶν ἡ συγκειμένη ἐκ τῶν γδ, δε, ἴση δέ ἐστιν ἡ αδ τῇ δε, ἡ γε ἄρα ἐστὶν ἡ συγκειμένη ἐκ τῶν αδ, δγ, τουτέστιν ἐκ συναμφοτέρου τῶν αβ, βγ καὶ δύο τῶν βδ· δύο δὲ αἱ βδ δύνανται τὸ τετράκις ὑπὸ τῶν αβγ· ἡ γε ἄρα ἐστὶν ἡ συγκειμένη ἔκ τε συναμφοτέρου τῆς αβ, βγ καὶ τῆς δυναμένης τὸ τετράκις ὑπὸ τῶν αβγ.*

*Πάλιν τῶν αβ, βγ μέση ἀνάλογον ἡ βδ καὶ τῇ γδ ἴση κείσθω ἡ δε· ὅτι ἡ αε ὑπεροχή ἐστιν ᾗ ὑπερέχει συναμφότερος ἡ αβγ τῆς δυναμένης τὸ τετράκις ὑπὸ αβγ Ἐπεὶ γὰρ συναμφότερος ἡ αβγ συναμφοτέρου τῆς εβγ ὑπερέχει τῇ αε, συναμφότερος δὲ ἡ εβγ δύο εἰσὶν αἱ βδ, τουτέστιν ἡ δυναμένη τὸ τετράκις ὑπὸ τῶν αβγ· ἡ αε ἄρα ἐστὶν ἡ ὑπεροχὴ ᾗ ὑπερέχει συναμφότερος ἡ αβγ τῆς δυναμένης τὸ τετράκις ὑπὸ τῶν αβγ.*

*Πάλιν τῶν αβ, βγ μέση ἀνάλογον ἔστω ἡ βδ καὶ τῇ γδ ἴση κείσθω ἡ δε· ὅτι ἡ αε ἐστὶν ἡ συγκειμένη ἔκ τε συναμφοτέρου τῆς αβγ καὶ τῆς δυναμένης τὸ τετράκις ὑπὸ τῶν αβγ. Ἐπεὶ γὰρ ἡ αε σύγκειται ἐκ τῶν αδ, δε, ἴση δέ ἐστιν ἡ δε τῇ δγ, ἡ αε ἄρα σύγκειται ἐκ τῶν αδ, δγ, τουτέστι συναμφοτέρου τῆς αβγ καὶ δύο τῶν βδ. δύο δὲ αἱ βδ δύνανται τὸ τετράκις ὑπὸ τῶν αβγ· ἡ αε ἄρα ἐστὶν ἡ συγκειμένη ἔκ τε συναμφοτέρου τῶν αβγ καὶ τῆς δυναμένης τὸ τετράκις ὑπὸ τῶν αβγ.*

*Ταῦτα λαμβάνεται εἰς τὴν τοῦ λόγου ἀποτομὴν· ταῦτα καὶ εἰς τὴν τοῦ χωρίου ἀποτομὴν λαμβάνεται, διαφερόντως μόνον.*

Hosted by Google

Denn $\alpha\beta + \beta\gamma$ ist um $\gamma\varepsilon$ grösser als $\alpha\beta + \beta\varepsilon$, folglich ist $\gamma\varepsilon$ der Ueberschuss, um welchen $\alpha\beta + \beta\gamma$ die $\alpha\beta + \beta\varepsilon$ übertrifft; aber $\alpha\beta + \beta\varepsilon = 2\beta\delta$ und Quadrat über $2\beta\delta$ = 4 Rechteck $\alpha\beta . \beta\gamma$, folglich $\gamma\varepsilon$ der Ueberschuss, um welchen $\alpha\beta + \beta\gamma$ grösser ist, als die, deren Quadrat = 4 Rechteck $\alpha\beta . \beta\gamma$.

Es sei wiederum $\beta\delta$ die mittlere Pro- [*Command. XVIII.*] portionale zwischen $\alpha\beta$, $\beta\gamma$ und $\delta\varepsilon = \alpha\delta$, so ist $\gamma\varepsilon$ zusammengesetzt aus $\alpha\beta + \beta\gamma$ und aus der Geraden, deren Quadrat = 4 Rechteck $\alpha\beta . \beta\gamma$.

$\alpha$ $\gamma$ $\beta$ $\delta$ $\varepsilon$

Da $\gamma\varepsilon = \gamma\delta + \delta\varepsilon$ und $\alpha\delta = \delta\varepsilon$, so ist $\gamma\varepsilon = \alpha\delta + \delta\gamma = \alpha\beta + \beta\gamma + 2\beta\delta$; aber Quadrat über $2\beta\delta$ = 4 Rechteck $\alpha\beta . \beta\gamma$, folglich ist $\gamma\varepsilon$ zusammengesetzt aus $\alpha\beta + \beta\gamma$ und aus der, deren Quadrat = 4 Rechteck $\alpha\beta . \beta\gamma$.

Es sei wiederum $\beta\delta$ die mittlere Propor- [*Command. XIX.*] tionale zwischen $\alpha\beta$, $\beta\gamma$ und $\delta\varepsilon = \gamma\delta$, so ist $\alpha\varepsilon$ der Ueberschuss, um welchen $\alpha\beta + \beta\gamma$ grösser als die, deren Quadrat = 4 Rechteck $\alpha\beta . \beta\gamma$.

$\alpha$ $\varepsilon$ $\delta$ $\gamma$ $\beta$

Da $\alpha\beta + \beta\gamma$ um $\alpha\varepsilon$ grösser ist als $\varepsilon\beta + \beta\gamma$, aber $\varepsilon\beta + \beta\gamma = 2\beta\delta$, d. h. gleich der Geraden, deren Quadrat = 4 Rechteck $\alpha\beta . \beta\gamma$, so ist $\alpha\varepsilon$ der Ueberschuss, um welchen $\alpha\beta + \beta\gamma$ grösser ist als die, deren Quadrat = 4 Rechteck $\alpha\beta . \beta\gamma$.

Ferner sei $\beta\delta$ die mittlere Proportionale [*Command. XX.*] zwischen $\alpha\beta$, $\beta\gamma$ und $\delta\varepsilon = \gamma\delta$, so ist $\alpha\varepsilon$ zusammengesetzt aus $\alpha\beta + \beta\gamma$ und aus der Geraden, deren Quadrat = 4 Rechteck $\alpha\beta . \beta\gamma$.

$\alpha$ $\gamma$ $\beta$ $\delta$ $\varepsilon$

Da $\alpha\varepsilon = \alpha\delta + \delta\varepsilon$ und $\delta\varepsilon = \delta\gamma$, so ist $\alpha\varepsilon = \alpha\delta + \delta\gamma = \alpha\beta + \beta\gamma + 2\beta\delta$; aber Quadrat über $2\beta\delta$ = 4 Rechteck $\alpha\beta . \beta\gamma$, folglich ist $\alpha\varepsilon$ zusammengesetzt aus $\alpha\beta + \beta\gamma$ und aus der Geraden, deren Quadrat = 4 Rechteck $\alpha\beta . \beta\gamma$.

Dies sind die Hülfssätze für den Verhältnissschnitt; dieselben gelten auch für den Raumschnitt, nur auf eine verschiedene Weise.



Hosted by Google

*Πρόβλημα* [1]) *εἰς τὸ δεύτερον λόγου ἀποτομῆς, χρήσιμον εἰς τὴν τοῦ τρισκαιδεκάτου τόπου ἀνακεφαλαίωσιν· Δύο δοθεισῶν εὐθειῶν τῶν αβ, βγ, λαβεῖν ἐπεκβαλόντα τὴν αδ δοθὲν τὸ δ ποιοῦν τὸν τῆς βδ πρὸς δα λόγον τὸν αὐτὸν τῷ τῆς γδ πρὸς τὴν ὑπεροχὴν ᾗ ὑπερέχει συναμφότερος ἡ αβγ τῆς δυναμένης τὸ τετράκις ὑπὸ τῶν αβγ. Ἄλλως οὐχ οἵονται συστῆναι, εἰ μὴ συναμφότερος μὲν ἡ δβ, αγ ἴση ᾗ τῇ εα ὑπεροχῇ, ὅλη δὲ ἡ δα ὅλῃ τῇ αβ, καὶ ἔτι τὰς εα, αγ, γβ πρὸς ἄλληλα λόγον ἔχειν ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, καὶ τὴν βγ τῆς δε διπλασίαν εἶναι.*[2]) *Ἔστω γεγονὸς, καὶ ἡ ὑπεροχὴ ἔστω ἡ αε, ἐν γὰρ τοῖς ἐπάνω εὕρομεν αὐτήν, ἔστιν οὖν ὡς ἡ βδ πρὸς τὴν δα οὕτως ἡ γδ πρὸς τὴν αε. καὶ ἐναλλὰξ καὶ διελόντι χωρίον χωρίῳ, τὸ ἄρα ὑπὸ τῶν βγ,εα ἴσον τῷ ὑπὸ τῶν γδε. δοθὲν δὲ τὸ ὑπὸ τῶν βγ,εα· δοθὲν ἄρα καὶ τὸ ὑπὸ τῶν γδε· καὶ παρὰ δοθεῖσαν τὴν γε παράκειται ὑπέρβαλλον τετραγώνῳ· δοθὲν ἄρα ἐστὶ τὸ δ. Συντεθήσεται δὲ οὕτως· ἔστω ἡ ὑπεροχὴ ἡ εα, καὶ τῷ ὑπὸ τῶν βγ,εα ἴσον πάλιν τῇ γε παραβεβλήσθω ὑπέρβαλλον τετραγώνῳ τὸ ὑπὸ γδε· λέγω ὅτι τὸ ζητούμενον σημεῖόν ἐστι τὸ δ. ἐπεὶ γὰρ ἴσον τὸ ὑπὸ τῶν βγ,εα τῷ ὑπὸ τῶν γδε, ἀνάλογον καὶ συνθέντι καὶ ἐναλλὰξ, ἔστιν ἄρα ὡς ἡ βδ πρὸς τὴν δα οὕτως ἡ γδ πρὸς εα, ἥτις ἐστὶν ἡ ὑπεροχή. τὰ δ' αὐτὰ κἂν ζητῶμεν λαβεῖν σημεῖον ποιοῦν ὡς τὴν βδ πρὸς τὴν δα οὕτω τὴν γδ πρὸς τὴν συγκειμένην ἔκ τε συναμφοτέρου τῆς αβγ καὶ τῆς δυναμένης τὸ τετράκις ὑπὸ τῶν αβγ. ὅπερ: —*

*Τὸ πρῶτον λόγου ἀποτομῆς ἔχει τόπους ἕπτα, πτώσεις* $\overline{κδ}$, *διορισμοὺς δὲ πέντε· ὧν τρεῖς μὲν μέγιστοι, δύο δὲ ἐλάχιστοι. καὶ ἔστι μέγιστος μὲν κατὰ τὴν τρίτην πτῶσιν τοῦ* $\overline{ε}$ *τόπου, ἐλάχιστος δὲ κατὰ τὴν δευτέραν τοῦ ἕκτου τόπου καὶ κατὰ τὴν αὐτὴν τοῦ* $\overline{ζ}$· *μέγιστοι δὲ οἱ κατὰ τὰς τετάρτας τοῦ ἕκτου καὶ τοῦ ἑβδόμου. τὸ δεύτερον λόγου ἀποτομῆς [ἔχει τόπους* $\overline{ιδ}$, *πτώσεις* $\overline{ξγ}$, *διορισμοὺς δε τοὺς ἐκ τοῦ πρώτου, ἀπάγεται γὰρ ὅλον εἰς τὸ πρῶτον. τὸ πρῶτον χωρίου ἀποτομῆς]* [3]) *ἔχει τόπους* $\overline{ζ}$, *πτώσεις* $\overline{κδ}$, *διορισμοὺς* $\overline{ζ}$, *ὧν τέσσαρες μὲν*

[1]) Diese Aufgabe und das Folgende scheinen späterer Zusatz zu sein.

[2]) Der Inhalt dieses Satzes passt nicht zu dem Folgenden; *Halley* hat ihn deshalb ausgelassen.

[3]) Einschaltung von *Halley*

Hosted by Google

Eine Aufgabe zum zweiten Buch des Verhältnissschnittes, welche zur Recapitulation des dreizehnten Ortes zu gebrauchen ist: Es seien die Geraden $\alpha\beta$, $\beta\gamma$ gegeben, [*Command. XXI.*] es soll die Linie bis zum Punkt $\delta$ verlängert werden, so dass $\beta\delta$ zu $\delta\alpha$ sich verhält, wie $\gamma\delta$ zu dem Ueberschuss, um welchen $\alpha\beta + \beta\gamma$ grösser ist als die, deren Quadrat $= 4$ Rechteck $\alpha\beta \,.\, \beta\gamma$.

$\delta$ $\varepsilon$ $\alpha$ $\gamma$ $\beta$

Man meint diese Aufgabe nur so zu lösen, dass $\delta\beta + \alpha\gamma$ dem Ueberschuss $\alpha\varepsilon$ gleich ist, dass $\delta\alpha = \alpha\beta$, dass $\varepsilon\alpha$, $\alpha\gamma$, $\gamma\beta$ zu einander in dem Verhältniss stehen wie eine Quadratzahl zu einer Quadratzahl, und dass $\beta\gamma = 2\,\delta\varepsilon$ ist.

Analysis. Der Ueberschuss sei $\alpha\varepsilon$ (wir haben ihn im Obigen gefunden), so ist $\beta\delta : \delta\alpha = \gamma\delta : \alpha\varepsilon$, mithin Rechteck $\beta\gamma \,.\, \varepsilon\alpha =$ Rechteck $\gamma\delta \,.\, \delta\varepsilon$. Nun ist Rechteck $\beta\gamma \,.\, \varepsilon\alpha$ gegeben, daher auch Rechteck $\gamma\delta \,.\, \delta\varepsilon$; dies an die gegebene Gerade $\gamma\varepsilon$ angelegt, geht um ein Quadrat darüber hinaus. Es ist also der Punkt $\delta$ gegeben.

Synthesis. Es sei $\alpha\varepsilon$ der Ueberschuss; man lege an $\gamma\varepsilon$ das Rechteck $\gamma\delta \,.\, \delta\varepsilon$, welches dem Rechteck $\beta\gamma \,.\, \varepsilon\alpha$ gleich ist und über die Linie $\gamma\varepsilon$ um ein Quadrat hinausgeht, so ist der Punkt $\delta$ der gesuchte. Denn da Rechteck $\beta\gamma \,.\, \varepsilon\alpha =$ Rechteck $\gamma\delta \,.\, \delta\varepsilon$, so ist $\beta\delta : \delta\alpha = \gamma\delta : \varepsilon\alpha$; es ist aber $\varepsilon\alpha$ der Ueberschuss.

Die Lösung der Aufgabe geschieht auf dieselbe Weise, wenn wir einen Punkt suchen, so dass $\beta\delta : \delta\alpha = \gamma\delta$ zu der Geraden, die aus $\alpha\beta + \beta\gamma$ und aus der zusammengesetzt ist, deren Quadrat $= 4$ Rechteck $\alpha\beta \,.\, \beta\gamma$.

Das erste Buch des Verhältnissschnittes enthält sieben Oerter, vier und zwanzig Fälle, fünf Determinationen, von denen drei Maxima, zwei Minima sind; ein Maximum findet statt im dritten Fall des fünften Ortes, Minima in den zweiten Fällen des sechsten und des siebenten Ortes, die übrigen Maxima in den vierten Fällen des sechsten und des siebenten Ortes. Das zweite Buch des Verhältnissschnittes hat vierzehn Oerter, drei und sechzig Fälle und die Determinationen des ersten Buchs; es bezieht sich nämlich ganz auf das erste Buch. Das erste Buch des Raumschnittes hat sieben Oerter, vier und zwanzig Fälle, sieben Determinationen, von denen vier Maxima, drei Minima sind. Die Maxima sind bei dem zweiten Fall des ersten Ortes, bei dem ersten Fall des zweiten Ortes, bei dem zweiten Fall des vierten Ortes, bei dem drit-

Hosted by Google

μέγιστοι, τρεῖς δὲ ἐλάχιστοι· καὶ ἐστι μέγιστος μὲν ὁ κατὰ τὴν δευτέραν τοῦ πρώτου τόπου καὶ ὁ κατὰ τὴν πρώιην [τοῦ δευτέρου τόπου καὶ ὁ κατὰ τὴν δευτέραν][1]) τοῦ τετάρτου τόπου καὶ ὁ [κατὰ τὴν τρίτην τοῦ ἕκτου, ἐλάχιστοι δὲ ὁ][2]) κατὰ τὴν τρίτην τοῦ τρίτου τόπου καὶ ὁ κατὰ τὴν τετάρτην τοῦ τετάρτου καὶ ὁ κατὰ τὴν πρώτην τοῦ ἕκτου. τὸ δεύτερον χωρίου ἀποτομῆς ἔχει τόπους ιγ, πτώσεις ξ, διορισμοὺς δὲ τοὺς ἐκ τοῦ πρώτου· ἀπάγεται γὰρ εἰς αὐτό. ἐπιστήσειεν ἄν τις, διὰ τί ποτε μὲν τὸ τοῦ λόγου ἀποτομῆς δεύτερον ἔχει τόπους ιδ, τὸ δὲ τοῦ χωρίου ιγ. ἔχει δὲ διὰ τόδε, ὅτι ὁ ξ ἐν τῷ τοῦ χωρίου ἀποτομῆς τόπος παραλείπεται ὡς φανερός· ἐὰν γὰρ αἱ παράλληλοι ἀμφότεραι ἐπὶ τὰ πέρατα πίπτωσιν, οἷα ἐὰν διαχθῇ δοθὲν ἀποτέμνει χωρίον· ἴσον γὰρ γίνεται τῷ ὑπὸ τῶν μεταξὺ τῶν περάτων τῆς ἀμφοτέρων τῶν ἐξ ἀρχῆς τῇ θέσει δοθεισῶν εὐθειῶν συμβολῆς. ἐν δὲ τῷ λόγου ἀποτομῆς οὐκέτι[3]) ὁμοίως· διὰ τοῦτο οὖν προέχει τόπον ἕνα εἰς τὸν ἕβδομον[4]) τοῦ δευτέρου, καὶ τὰ λοιπὰ ὄντα τὰ ὄντα.

## *Διωρισμένης τομῆς α.*

*Λῆμμα χρήσιμον εἰς τὸ πρῶτον ἐπίταγμα τοῦ πέμπτου προβλήματος.* Ἔστω εὐθεῖα ἡ αβ καὶ ἐπ' αὐτῆς τρία σημεῖα τὰ γ, δ, ε, καὶ ἔστω τὸ ὑπὸ τῶν αδγ ἴσον τῷ ὑπὸ τῶν βδε· ὅτι γίνεται ὡς ἡ βδ πρὸς δε οὕτω τὸ ὑπὸ τῶν αβγ πρὸς τὸ ὑπὸ τῶν αεγ. Ἐπεὶ γὰρ τὸ ὑπὸ τῶν αδγ ἴσον ἐστὶ τῷ ὑπὸ βδε, ἀνάλογον ἄρα ὡς ἡ αδ πρὸς τὴν δβ οὕτως ἡ εδ πρὸς τὴν δγ, καὶ ὅλη ἄρα ἡ αε πρὸς ὅλην τὴν βγ ἐστὶν ὡς ἡ εδ πρὸς δγ· καὶ ἀνάπαλιν. πάλιν ἐπεὶ τὸ ὑπὸ τῶν αδγ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν βδε, ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ αδ πρὸς τὴν δε οὕτως ἡ βδ πρὸς δγ, καὶ ὅλη ἄρα ἡ αβ πρὸς ὅλην τὴν γε ἐστὶν ὡς ἡ βδ πρὸς δγ. ἦν δὲ καὶ ὡς ἡ βγ πρὸς τὴν εα οὕτως ἡ γδ πρὸς τὴν δε, ὥστε καὶ ὁ συνημμένος λόγος ἔκ τε τοῦ ὃν ἔχει ἡ αβ πρὸς γε καὶ ἐξ οὗ ὃν ἔχει ἡ βγ

---

[1]) Einschaltung von *Halley*.
[2]) Einschaltung von *Halley*.
[3]) Vielleicht ist *οὐκ ἔστι* zu lesen.
[4]) So emendirt *Halley*; die Hdsch. haben *δεύτερον*.

Hosted by Google

ten Fall des sechsten Ortes; die Minima sind bei dem dritten Fall des dritten Ortes, bei dem vierten Fall des vierten Ortes und bei dem ersten Fall des sechsten Ortes Das zweite Buch des Raumschnitts enthält dreizehn Oerter, sechzig Fälle, und die Determinationen aus dem ersten Buche, auf welches es sich bezieht. Es könnte nun jemand fragen, aus welchem Grunde das zweite Buch des Verhältnissschnittes vierzehn Oerter, das zweite Buch des Raumschnittes deren nur dreizehn enthält. Es kommt dies daher, dass der siebente Ort im Raumschnitt als an sich deutlich weggelassen ist; denn falls die beiden Parallelen auf die Endpunkte treffen, so schneidet jede durchgelegte Gerade ein gegebenes Rechteck ab, es ist nämlich dem gleich, welches aus den Geraden construirt wird, die zwischen den Endpunkten und dem Treffpunkt der beiden anfangs der Lage nach gegebenen Geraden liegen. Im Verhältnissschnitt ist dies anders; deshalb hat letzteres einen Ort, nämlich den siebenten des zweiten Buches, mehr. Das Uebrige ist unverändert.

## Ueber den bestimmten Schnitt.

### Erstes Buch.

Lemma, das für die erste Anordnung [*Command. XXII.*] des fünften Problems von Nutzen ist. Auf der Geraden $\alpha\beta$ seien die drei Punkte $\gamma$, $\delta$, $\varepsilon$ gegeben und es sei Rechteck $\alpha\delta \,.\, \delta\gamma$ = Rechteck $\beta\delta \,.\, \delta\varepsilon$, so ist $\beta\delta : \delta\varepsilon$ = Rechteck $\alpha\beta \,.\, \beta\gamma$ : Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\gamma$.

$\alpha \quad \gamma \quad \delta \quad \varepsilon \quad \beta$

Da Rechteck $\alpha\delta \,.\, \delta\gamma$ = Rechteck $\beta\delta \,.\, \delta\varepsilon$,
mithin $\alpha\delta : \delta\beta = \varepsilon\delta : \delta\gamma$,
so ist auch $\alpha\varepsilon : \beta\gamma = \varepsilon\delta : \delta\gamma$, und umgekehrt.
Ferner, da Reckteck $\alpha\delta \,.\, \delta\gamma$ = Rechteck $\beta\delta \,.\, \delta\varepsilon$,
mithin $\alpha\delta : \delta\varepsilon = \beta\delta : \delta\gamma$,
ist auch $\alpha\beta : \gamma\varepsilon = \beta\delta : \delta\gamma$.
Es war aber auch $\beta\gamma : \varepsilon\alpha = \gamma\delta : \delta\varepsilon$,
daher $\alpha\beta \,.\, \beta\gamma : \gamma\varepsilon \,.\, \varepsilon\alpha = \beta\delta \,.\, \gamma\delta : \delta\gamma \,.\, \delta\varepsilon$
$= \beta\delta : \delta\varepsilon$,
folglich $\beta\delta : \delta\varepsilon$ = Rechteck $\alpha\beta \,.\, \beta\gamma$ : Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\gamma$,
was zu beweisen war.

Hosted by Google

πρὸς αε ὁ αὐτός ἐστι τῷ ἔκ τε τοῦ ὃν ἔχει ἡ βδ πρὸς δγ καὶ ἡ γδ πρὸς τὴν εδ. ἀλλ᾽ ὁ μὲν συνημμένος ἔκ τε τοῦ ὃν ἔχει ἡ αβ πρὸς γε καὶ ἐξ οὗ ὃν ἔχει ἡ βγ πρὸς αε, ὁ τοῦ ὑπὸ τῶν αβγ πρὸς τὸ ὑπὸ τῶν αεγ ἐστιν· ὁ δὲ συνημμένος ἔκ τε τοῦ ὃν ἔχει ἡ βδ πρὸς δγ καὶ ἐξ οὗ ἡ γδ πρὸς δε, ὁ τῆς βδ πρὸς δε ἐστιν· καὶ ὡς ἄρα ἡ βδ πρὸς δε οὕτω τὸ ὑπὸ τῶν αβγ πρὸς τὸ ὑπὸ τῶν αεγ. ὅπερ: —

Ἄλλως τὸ αὐτό. Ἐπεὶ τὸ ὑπὸ αδγ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν βδε, ἀνάλογον καὶ ὅλη πρὸς ὅλην, ἔστιν ἄρα ὡς ἡ αε πρὸς βγ οὕτως ἡ αδ πρὸς δβ. συνθέντι ἐστὶν ὡς συναμφότερος ἡ αε, γβ πρὸς γβ οὕτως ἡ αβ πρὸς βδ, τὸ ἄρα ὑπὸ συναμφοτέρου τῆς αε,γβ καὶ τῆς βδ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν αβγ. πάλιν ἐπεί ἐστιν ὡς ἡ αδ πρὸς τὴν δβ οὕτως ἡ εδ πρὸς τὴν δγ, καὶ ὅλη ἄρα ἡ αε πρὸς ὅλην τὴν βγ, ἐστὶν ὡς ἡ εδ πρὸς δγ, ἀνάπαλιν καὶ συνθέντι τὸ ἄρα ὑπὸ συναμφοτέρου τῆς αε, γβ καὶ τῆς εδ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν αεγ. ἐδείχθη δὲ καὶ τὸ ὑπὸ συναμφοτέρου τῆς αε,γβ καὶ τῆς βδ ἴσον τῷ ὑπὸ τῶν αβγ· ἐναλλὰξ ἄρα γίνεται ὡς τὸ ὑπὸ συναμφοτέρου τῆς αε, γβ καὶ τῆς βδ πρὸς τὸ ὑπὸ συναμφοτέρου τῆς αε, γβ καὶ τῆς δε, τουτέστιν ὡς ἡ βδ πρὸς τὴν δε οὕτω τὸ ὑπὸ τῶν αβγ πρὸς τὸ ὑπὸ τῶν αεγ.

Ἄλλως εἰς τὸ πρῶτον ἐπίταγμα τοῦ πέμπτου προβλήματος, πρότερον προθεωρηθέντων τῶν ἑξῆς δύο. Ἔστω ἴση ἡ αβ τῇ γδ, καὶ ἐπὶ τῆς γδ τυχὸν τὸ ε· ὅτι τὸ ὑπὸ τῶν αγδ ἴσον ἐστὶ τῷ τε ὑπὸ τῶν αεδ καὶ τῷ ὑπὸ τῶν βεγ. Τετμήσθω ἡ βγ δίχα κατὰ τὸ ζ σημεῖον. τὸ ἄρα ὑπὸ τῶν αγδ μετὰ τοῦ ἀπὸ τῆς γζ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ζδ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ὑπὸ τῶν αεδ μετὰ τοῦ ἀπὸ τῆς ζε τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ζδ· καὶ τὸ ὑπὸ τῶν αγδ ἄρα μετὰ τοῦ ἀπὸ τῆς γζ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν αεδ καὶ τῷ ἀπὸ τῆς εζ τετραγώνῳ, τουτέστι τῷ τε ὑπὸ τῶν βεγ καὶ τῷ ἀπὸ τῆς γζ τετραγώνῳ. καὶ κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ τῆς γζ τετράγωνον, λοιπὸν ἄρα τὸ ὑπὸ τῶν αγδ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν αεδ καὶ τῷ ὑπὸ τῶν βεγ.

Τῶν αὐτῶν ὑποκειμένων, ἔστω τὸ ε σημεῖον ἐκτὸς τῆς αδ· ὅτι πάλιν τὸ ὑπὸ τῶν βεγ ἴσον τῷ ὑπὸ τῶν αεδ καὶ τῷ

Hosted by Google

Ein anderer Beweis. Da Rechteck $\alpha\delta \,.\, \delta\gamma$ = Rechteck $\beta\delta \,.\, \delta\varepsilon$,

so ist $\alpha\varepsilon : \beta\gamma = \alpha\delta : \beta\delta$,

mithin $\alpha\varepsilon + \beta\gamma : \beta\gamma = \alpha\beta : \beta\delta$,

folglich Rechteck $(\alpha\varepsilon + \beta\gamma)\,\beta\delta$ = Rechteck $\alpha\beta \,.\, \beta\gamma$.

Ferner ist, da $\alpha\delta : \delta\beta = \varepsilon\delta : \delta\gamma$

$\alpha\varepsilon : \beta\gamma = \varepsilon\delta : \delta\gamma$,

mithin Rechteck $(\alpha\varepsilon + \beta\gamma)\,\varepsilon\delta$ = Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\gamma$.

Nun war aber Rechteck $(\alpha\varepsilon + \beta\gamma)\,\delta\beta$ = Rechteck $\alpha\beta \,.\, \beta\gamma$,

folglich $(\alpha\varepsilon + \gamma\beta)\,\beta\delta : (\alpha\varepsilon + \beta\gamma)\,\varepsilon\delta = \alpha\beta \,.\, \beta\gamma : \alpha\varepsilon \,.\, \varepsilon\gamma$,

d. h. $\delta\beta : \delta\varepsilon$ = Rechteck $\alpha\beta \,.\, \beta\gamma$ : Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\gamma$.

Das Vorstehende kann noch auf andere Weise bewiesen werden, nachdem die beiden folgenden Sätze vorher dargethan sind. Ist $\alpha\beta = \gamma\delta$ und nimmt man auf $\gamma\delta$ einen [*Command. XXIII.*] beliebigen Punkt $\varepsilon$ an, so ist Rechteck $\alpha\gamma \,.\, \gamma\delta$ = Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\delta$ + Rechteck $\beta\varepsilon \,.\, \varepsilon\gamma$.




Halbirt man $\beta\gamma$ in $\zeta$, so ist

Rechteck $\alpha\gamma \,.\, \gamma\delta$ + Quadrat über $\gamma\zeta$ = Quadrat über $\zeta\delta$.

Aus demselben Grunde ist

Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\delta$ + Quadrat über $\zeta\varepsilon$ = Quadrat über $\zeta\delta$,

mithin Rechteck $\alpha\gamma \,.\, \gamma\delta$ + Quadrat über $\gamma\zeta$ = Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\delta$ + Quadrat über $\zeta\varepsilon$ = Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\delta$ + Rechteck $\beta\varepsilon \,.\, \varepsilon\gamma$ + Quadrat über $\gamma\zeta$, folglich durch Subtraction des Quadrats über $\gamma\zeta$, Rechteck $\alpha\gamma \,.\, \gamma\delta$ = Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\delta$ + Rechteck $\beta\varepsilon \,.\, \varepsilon\gamma$.

Wenn unter derselben Voraussetzung [*Command. XXIV.*] der Punkt $\varepsilon$ ausserhalb der Linie $\alpha\delta$ liegt, so ist ebenfalls Recht-

Hosted by Google

ὑπὸ τῶν βδγ. Τετμήσθω πάλιν ἡ βγ δίχα κατὰ τὸ ζ. τὸ μὲν ἄρα ὑπὸ βεγ μετὰ τοῦ ἀπὸ γζ ἴσον ἐστὶ τῷ ἀπὸ ζε, ὥστε τὸ ὑπὸ βεγ μετὰ τοῦ ἀπὸ γζ ἴσον ἐστὶ τῷ ὑπὸ αεδ μετὰ τοῦ ἀπὸ δζ, τουτέστι τῷ ὑπὸ βδγ καὶ τοῦ ἀπὸ γζ. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ γζ, λοιπὸν ἄρα τὸ ὑπὸ βεγ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν αδε καὶ τῷ ὑπὸ βδγ.

Τούτων προτεθεωρημένων δεῖξαι, ὅτι ἐὰν τὸ ὑπὸ αβγ ἴσον τῷ ὑπὸ δβε, γίνεται ὡς ἡ δβ πρὸς βε οὕτω τὸ ὑπὸ αδγ πρὸς τὸ ὑπὸ αεγ. Κείσθω γὰρ τῇ γε ἴση ἡ ζα. ἐπεὶ οὖν τὸ ὑπὸ αβγ ἴσον ἐστὶ τῷ ὑπὸ δβε, κοινὸν προσκείσθω τὸ ὑπὸ ζβ,βε, ὅλον ἄρα τὸ ὑπὸ δζ,βε ἴσον ἐστὶ τῷ τε ὑπὸ τῶν ζβε καὶ τῷ ὑπὸ τῶν αβγ. ἀλλὰ ταῦτα διὰ τὸ προγεγραμμένον ἴσα ἐστὶ τῷ ὑπὸ τῶν ζγε, τουτέστι τῷ ὑπὸ τῶν αεγ, καὶ τὸ ὑπὸ τῶν ζδ,βε ἄρα ἴσον ἐστὶ τῷ ὑπὸ τῶν αεγ. ἐξωθεν τὸ ὑπὸ τῶν ζδε· ὡς ἄρα τὸ ὑπὸ τῶν ζδε πρὸς τὸ ὑπὸ τῶν ζδ, βε, τουτέστιν ὡς ἡ εδ πρὸς εβ οὕτω τὸ ὑπὸ τῶν ζδε πρὸς τὸ ὑπὸ τῶν αεγ. συνθέντι ἐστὶν ὡς ἡ δβ πρὸς βε οὕτω τὸ ὑπὸ τῶν [ζδε μετὰ τοῦ ὑπὸ τῶν αεγ πρὸς τὸ ὑπὸ τῶν] [1]) αεγ, ἀλλὰ τὸ ὑπὸ τῶν ζδε μετὰ τοῦ ὑπὸ τῶν αεγ, διὰ τὸ προγεγραμμένον, ἴσον ἐστὶ τῷ ὑπὸ τῶν αδγ· ἔστιν ἄρα ὡς ἡ δβ πρὸς τὴν βε οὕτω τὸ ὑπὸ τῶν αδγ πρὸς τὸ αεγ.

Ἐαν ᾖ τριγωνον τὸ αβγ καὶ δύο διαχθῶσιν ὡς αδ, αε, ὥστε τὰς ὑπὸ βαγ, δαε γωνίας δυσὶν ὀρθαῖς ἴσας εἶναι· γίνεται ὡς τὸ ὑπὸ τῶν βγδ πρὸς τὸ ὑπὸ τῶν βεδ οὕτω τὸ ἀπὸ γα πρὸς τὸ ἀπὸ αε. Ἐὰν γὰρ περιγράψωμεν τῷ αβδ τρι-

[1]) Einschaltung von *Commandin*.

eck $\beta\varepsilon \,.\, \varepsilon\gamma$ = Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\delta$ + Rechteck $\beta\delta \,.\, \delta\gamma$.

Wird wiederum $\beta\gamma$ in $\zeta$ halbirt, so ist




Rechteck $\beta\varepsilon \,.\, \varepsilon\gamma$ + Quadrat über $\gamma\zeta$ = Quadrat über $\zeta\varepsilon$, daher Rechteck $\beta\varepsilon \,.\, \varepsilon\gamma$ + Quadrat über $\gamma\zeta$ = Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\delta$ + Quadrat über $\delta\zeta$ = Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\delta$ + Rechteck $\beta\delta \,.\, \delta\gamma$ + Quadrat über $\gamma\zeta$,
folglich durch Subtraction des Quadrats über $\gamma\zeta$
Rechteck $\beta\varepsilon \,.\, \varepsilon\gamma$ = Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\delta$ + Rechteck $\beta\delta \,.\, \delta\gamma$.

Nachdem dies bewiesen, ist zu zeigen, [*Command.* XXV.] dass wenn Rechteck $\alpha\beta \,.\, \beta\gamma$ = Rechteck $\delta\beta \,.\, \beta\varepsilon$, $\delta\beta : \beta\varepsilon$ = Rechteck $\alpha\delta \,.\, \delta\gamma$ : Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\gamma$.

Es sei $\gamma\varepsilon = \zeta\alpha$. Da Rechteck $\alpha\beta \,.\, \beta\gamma$ = Rechteck $\delta\beta \,.\, \beta\varepsilon$, so ist, wenn Rechteck $\zeta\beta \,.\, \beta\varepsilon$ hinzugefügt wird,

Rechteck $\delta\zeta \,.\, \beta\varepsilon$ = Rechteck $\zeta\beta \,.\, \beta\varepsilon$ + Rechteck $\alpha\beta \,.\, \beta\gamma$,
= Rechteck $\zeta\gamma \,.\, \gamma\varepsilon$ nach dem Vorhergegangenen,
= Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\gamma$,

folglich Rechteck $\delta\zeta \,.\, \beta\varepsilon$ = Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\gamma$.
Vergleicht man hiermit Rechteck $\delta\zeta \,.\, \delta\varepsilon$, also

Rechteck $\delta\zeta \,.\, \delta\varepsilon$ : Rechteck $\delta\zeta \,.\, \beta\varepsilon$ (d. h. $\delta\varepsilon : \beta\varepsilon$) = Rechteck $\delta\zeta \,.\, \delta\varepsilon$ : Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\gamma$, so ist durch Zusammenfassen $\delta\beta : \beta\varepsilon$ = Rechteck $\delta\zeta \,.\, \delta\varepsilon$ + Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\gamma$ : Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\gamma$; aber nach dem Vorhergegangenen Rechteck $\delta\zeta \,.\, \delta\varepsilon$ + Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\gamma$ = Rechteck $\alpha\delta \,.\, \delta\gamma$,

folglich $\delta\beta : \beta\varepsilon$ = Rechteck $\alpha\delta \,.\, \delta\gamma$ : Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\gamma$.

Wenn in dem Dreieck $\alpha\beta\gamma$ die beiden [*Command.* XXVI.] Linien $\alpha\delta$, $\alpha\varepsilon$ so gezogen werden, dass die Winkel $\beta\alpha\gamma$ und $\delta\alpha\varepsilon$ zwei Rechte betragen, so ist Rechteck $\beta\gamma \,.\, \gamma\delta$ : Rechteck $\beta\varepsilon \,.\, \varepsilon\delta$ = Quadrat über $\gamma\alpha$ : Quadrat über $\alpha\varepsilon$.

Hosted by Google

γώνῳ καὶ ἐκβληθῶσιν αἱ εα, γα ἐπὶ τὰ ζ, η, μεταβαίνει τὸ μὲν ὑπὸ τῶν βγδ εἰς τὸ ὑπὸ τῶν ηγα, τὸ δὲ ὑπὸ τῶν βεδ εἰς τὸ ὑπὸ τῶν ζεα, καὶ δεήσει ἐναλλὰξ ζητῆσαι, εἰ ὡς τὸ ὑπὸ τῶν ηγα πρὸς τὸ ἀπὸ τῆς γα οὕτω τὸ ὑπὸ ζεα πρὸς τὸ ἀπὸ τῆς εα. τοῦτο δὲ τὸ αὐτό ἐστι τῷ ζητεῖν, εἰ ἔστιν ὡς ἡ ηγ πρὸς τὴν γα οὕτως ἡ ζε πρὸς τὴν εα. εἰ ἄρα ἐστὶν ἡ ηζ, παράλληλός ἐστι τῇ βγ. ἔστι δέ· ἐπεὶ γὰρ αἱ ὑπὸ βαγ, δαε γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσὶν, ἴση ἐστὶν ἡ ὑπὸ δαε γωνία τῇ ὑπὸ βαη γωνίᾳ· ἀλλὰ ἡ μὲν ὑπὸ δαε ἴση ἐστὶ τῇ ὑπὸ ζβδ ἐκτὸς τετραπλεύρου, ἡ δὲ ὑπὸ βαη γωνία ἴση ἐστὶ τῇ ὑπὸ βζη, καὶ ἡ ὑπὸ ζβδ ἄρα γωνία ἴση ἐστὶ τῇ ὑπὸ βζη γωνία, καὶ εἰσὶν ἐναλλὰξ· παράλληλος ἄρα ἐστὶν ἡ ηζ τῇ βγ. τοῦτο δὲ ἐζητοῦμεν. εἰ ἄρα: —

Ἄλλως τὸ αὐτό. Ἔστω ἐν τριγώνῳ τῷ αβγ αἱ ὑπὸ βαγ, δαε γωνίαι δυσὶν ὀρθαῖς ἴσαι· ὅτι γίνεται ὡς τὸ ὑπὸ βγδ πρὸς τὸ ὑπὸ βεδ οὕτω τὸ ἀπὸ γα πρὸς τὸ ἀπὸ αε. Ἤχθω διὰ τοῦ ε τῇ αγ παράλληλος ἡ εζ. ἴση ἄρα ἐστὶν ἡ ὑπὸ δαε γωνία τῇ ὑπὸ αζε γωνίᾳ· ἴσον ἄρα ἐστὶ τὸ ὑπὸ τῶν ζεη τῷ ἀπὸ αε. ἐπεὶ οὖν ἐστιν ὡς μὲν ἡ αγ πρὸς τὴν ζε οὕτως ἡ γβ πρὸς βε, ὡς δὲ ἡ γα πρὸς ηε οὕτως ἡ γδ πρὸς δε, ὁ ἄρα συνημμένος ἔκ τε τοῦ τῆς γα πρὸς ζε καὶ ἐκ τοῦ τῆς γα πρὸς ηε ὁ αὐτός ἐστι τῷ συνημμένῳ ἔκ τε τοῦ τῆς γβ πρὸς βε καὶ τοῦ τῆς γδ πρὸς δε· ἀλλ᾽ ὁ μὲν συνημμένος ἔκ τε τοῦ τῆς γα πρὸς ζε καὶ τοῦ τῆς γα πρὸς ηε ὁ τοῦ ἀπὸ γα ἐστὶ πρὸς τὸ ὑπὸ ζε,ηε, τουτέστι πρὸς τὸ ἀπὸ αε· ὁ δὲ συνημμένος ἔκ τε τοῦ τῆς γβ πρὸς βε καὶ τοῦ τῆς γδ πρὸς δε ὁ αὐτός ἐστι τῷ τοῦ ὑπὸ βγ,γδ πρὸς τὸ ὑπὸ βε,δε. ἔστιν ἄρα ὡς τὸ ὑπὸ τῶν βγδ πρὸς τὸ ὑπὸ τῶν βεδ οὕτω τὸ ἀπὸ γα πρὸς τὸ ἀπὸ αε.

Hosted by Google




Wenn wir um das Dreieck $\alpha\beta\delta$ einen Kreis beschreiben und die Linien $\varepsilon\alpha$, $\gamma\alpha$ bis zu den Punkten $\zeta$, $\eta$ verlängern, so tritt an die Stelle des Rechtecks $\beta\gamma \,.\, \gamma\delta$ das Rechteck $\eta\gamma \,.\, \gamma\alpha$ und an die Stelle des Rechtecks $\beta\varepsilon \,.\, \varepsilon\delta$ das Rechteck $\zeta\varepsilon \,.\, \varepsilon\alpha$, und es ist zu untersuchen, ob Rechteck $\gamma\eta \,.\, \gamma\alpha$ zu dem Quadrat über $\gamma\alpha$ sich verhält wie Rechteck $\zeta\varepsilon \,.\, \varepsilon\alpha$ zu dem Quadrat über $\varepsilon\alpha$. Dies fällt aber mit dem zusammen, ob $\eta\gamma : \gamma\alpha = \zeta\varepsilon : \varepsilon\alpha$. Zieht man nun die Linie $\eta\zeta$, so ist sie parallel zu $\beta\gamma$, denn da $\angle \beta\alpha\gamma + \delta\alpha\varepsilon = 2\mathrm{R}$, so ist $\angle \delta\alpha\varepsilon = \angle \beta\alpha\eta$, aber $\angle \delta\alpha\varepsilon = \angle \zeta\beta\delta$ als Aussenwinkel des Vierseits, und $\angle \beta\alpha\eta = \angle \beta\zeta\eta$, mithin $\angle \zeta\beta\delta = \angle \beta\zeta\eta$; dies sind aber Wechselwinkel, demnach $\eta\zeta \parallel \beta\gamma$. Das ist, was wir suchten. Wenn demnach u. s. w.

Ein anderer Beweis Wenn in dem [*Command. XXVII.*] Dreieck $\alpha\beta\gamma$ die Winkel $\beta\alpha\gamma + \delta\alpha\varepsilon = 2\mathrm{R}$, so ist Rechteck $\beta\gamma \,.\, \gamma\delta$ : Rechteck $\beta\varepsilon \,.\, \varepsilon\delta$ = Quadrat über $\gamma\alpha$ : Quadrat über $\alpha\varepsilon$.




Zieht man durch $\varepsilon$ die Linie $\varepsilon\zeta \parallel \alpha\gamma$, so ist $\angle \delta\alpha\varepsilon = \angle \alpha\zeta\varepsilon$, folglich Rechteck $\zeta\varepsilon \,.\, \varepsilon\eta$ = Quadrat über $\alpha\varepsilon$. Da nun $\alpha\gamma : \zeta\varepsilon = \gamma\beta : \beta\varepsilon$ und $\alpha\gamma : \eta\varepsilon = \gamma\delta : \delta\varepsilon$, so ist $\alpha\gamma \,.\, \alpha\gamma : \zeta\varepsilon \,.\, \eta\varepsilon = \gamma\beta \,.\, \gamma\delta : \beta\varepsilon \,.\, \delta\varepsilon$; aber Rechteck $\zeta\varepsilon \,.\, \eta\varepsilon$ = Quadrat über $\alpha\varepsilon$, folglich Rechteck $\beta\gamma \,.\, \gamma\delta$ : Rechteck $\beta\varepsilon \,.\, \varepsilon\delta$ = Quadrat über $\gamma\alpha$ : Quadrat über $\alpha\varepsilon$.

Hosted by Google

*Ἔστω πάλιν ἑκατέρα τῶν ὑπὸ τῶν βαε, γαδ γωνία ὀρθὴ· ὅτι γίνεται ὡς τὸ ὑπὸ τῶν βγε πρὸς τὸ ὑπὸ τῶν βδε οὕτω τὸ ἀπὸ γα πρὸς τὸ ἀπὸ αδ. Ἤχθω διὰ τοῦ δ τῇ αγ παράλληλος ἡ ζη, καὶ καθ' ὃ συμπίπτει τῇ αε, ἔστω τὸ η σημεῖον. ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ αδζ, ὀρθὴ δὲ καὶ ἡ ὑπὸ ζαη· τὸ ἄρα ὑπὸ ζδη ἴσον ἐστὶ τῷ ἀπὸ δα τετραγώνῳ. ἔστιν ἄρα ὡς τὸ ἀπὸ γα πρὸς τὸ ἀπὸ αδ [οὕτω] τὸ ἀπὸ γα πρὸς τὸ ὑπὸ ζδη· ἀλλὰ ὁ τοῦ ἀπὸ αγ πρὸς τὸ ὑπὸ ζδη συνῆπται λόγος ἔκ τε τοῦ ὃν ἔχει ἡ γα πρὸς δη, τουτέστιν ἡ γε πρὸς εδ καὶ τοῦ ὃν ἔχει ἡ γα πρὸς ζδ, τουτέστιν ἡ γβ πρὸς βδ· ὁ δὲ συνημμένος λόγος ἔκ τε τοῦ ὃν ἔχει ἡ γε πρὸς εδ καὶ ἐκ τοῦ ὃν ἔχει ἡ γβ πρὸς βδ ὁ αὐτός ἐστι τῷ τοῦ ὑπὸ βγε πρὸς τὸ ὑπὸ βδε. ἔστιν ἄρα ὡς τὸ ὑπὸ βγε πρὸς τὸ ὑπὸ βδε οὕτω τὸ ἀπὸ γα τετράγωνον πρὸς τὸ ἀπὸ αδ τετράγωνον.*

*Τούτου ὄντος, ἄλλως τὸ προγεγραμμένον λῆμμα, ὅτι γίνεται ὡς ἡ βδ πρὸς τὴν δε οὕτω τὸ ὑπὸ τῶν αβγ πρὸς τὸ ὑπὸ τῶν αεγ. Ἀνήχθω ἀπὸ τοῦ δ τυχοῦσά τις εὐθεῖα ἡ δζ, καὶ τῷ ὑπὸ τῶν αδγ ἴσον ὑποκείσθω τὸ ἀπὸ τῆς δζ, καὶ ἐπεζεύχθωσαν αἱ δζ, γζ, εζ, βζ. ἐπεὶ οὖν τὸ ὑπὸ τῶν αδγ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς δζ, γωνία ἄρα ἡ ὑπὸ τῶν γζδ ἴση ἐστὶ τῇ α γωνίᾳ. πάλιν ἐπεὶ τὸ ὑπὸ τῶν βδε ἴσον ἐστὶ τῷ ἀπὸ τῆς δζ, γωνία ἄρα ἡ ὑπὸ τῶν δζε γωνίᾳ τῇ β ἴση ἐστίν. ἀλλὰ καὶ ἡ ὑπὸ γζδ γωνία ἴση ἐστὶ τῇ α· ὅλη ἄρα ἡ ὑπὸ τῶν γζε ἴση ἐστὶ ταῖς α, β γωνίαις. ἀλλὰ αἱ α, β μετὰ τῆς ὑπὸ αζβ γωνίας δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, καὶ αἱ ὑπὸ αζβ, γζε ἄρα γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. γίνεται δὴ διὰ τὸ προγεγραμμένον λῆμμα, ὡς τὸ ἀπὸ βζ πρὸς τὸ ἀπὸ ζε οὕτω τὸ ὑπὸ αβγ πρὸς τὸ ὑπὸ αεγ· ἀλλ' ὡς τὸ ἀπὸ βζ πρὸς τὸ ἀπὸ ζε οὕτως ἐστὶν ἡ βδ πρὸς δε, (ἴσον ἄρα ἐστὶ τὸ ὑπὸ βδε τῷ ἀπὸ δζ)[1] καὶ ὡς ἄρα ἡ βδ πρὸς δε οὕτως ἐστὶ τὸ ὑπὸ τῶν αβγ πρὸς τὸ ὑπὸ τῶν αεγ.*

---

[1] Die eingeklammerten Worte sind offenbar eingeschaltet und deshalb zu streichen. *Commandin.*

Hosted by Google

Ist ferner jeder der Winkel $\beta\alpha\varepsilon$, $\gamma\alpha\delta$ [*Command. XXVIII.*] ein Rechter, so verhält sich Rechteck $\beta\gamma \,.\, \gamma\varepsilon$ : Rechteck $\beta\delta \,.\, \delta\varepsilon =$ Quadrat über $\gamma\alpha$ : Quadrat über $\alpha\delta$.




Zieht man durch den Punkt $\delta$ $\zeta\eta \parallel \alpha\gamma$, welche im Punkte $\eta$ die verlängerte $\alpha\varepsilon$ schneidet, so ist $\angle\, \alpha\delta\zeta = \mathrm{R}$; aber auch $\angle\, \zeta\alpha\eta = \mathrm{R}$, folglich Rechteck $\zeta\delta \,.\, \delta\eta =$ Quadrat über $\delta\alpha$. Nun ist Quadrat über $\gamma\alpha$ : Quadrat über $\alpha\delta =$ Quadrat über $\gamma\alpha$ : Rechteck $\zeta\delta \,.\, \delta\eta$; aber das Verhältniss des Quadrats über $\alpha\gamma$ zu Rechteck $\zeta\delta \,.\, \delta\eta$ ist zusammengesetzt aus $\gamma\alpha$ : $\delta\eta$ d. h. $\gamma\varepsilon$ : $\varepsilon\delta$ und aus $\gamma\alpha$ : $\zeta\delta$ d. h. $\gamma\beta$ : $\beta\delta$. Nun ist $\gamma\varepsilon \,.\, \gamma\beta$ : $\varepsilon\delta \,.\, \beta\delta =$ Rechteck $\beta\gamma \,.\, \gamma\varepsilon$ : Rechteck $\beta\delta \,.\, \delta\varepsilon$, folglich Rechteck $\beta\gamma \,.\, \gamma\varepsilon$ : Rechteck $\beta\delta \,.\, \delta\varepsilon =$ Quadrat über $\gamma\alpha$ : Quadrat über $\alpha\delta$.

Auf Grund dessen kann das obige Lemma, [*Command. XXIX.*] dass nämlich $\beta\delta$ : $\delta\varepsilon =$ Rechteck $\alpha\beta \,.\, \beta\gamma$ : Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\gamma$, noch anders bewiesen werden.




Man ziehe vom Punkte $\delta$ aus eine Gerade $\delta\zeta$, so dass Rechteck $\alpha\delta \,.\, \delta\gamma =$ Quadrat über $\delta\zeta$, und die Linien $\delta\zeta$, $\gamma\zeta$, $\varepsilon\zeta$, $\beta\zeta$. Da nun Rechteck $\alpha\delta \,.\, \delta\gamma$ = Quadrat über $\delta\zeta$, so ist $\angle\, \gamma\zeta\delta = \angle\, \alpha$. Ferner da Rechteck $\beta\delta \,.\, \delta\varepsilon =$ Quadrat über $\delta\zeta$, so ist $\angle\, \delta\zeta\varepsilon = \angle\, \beta$; folglich $\angle\, \gamma\zeta\varepsilon = \alpha + \beta$. Aber $\alpha + \beta + \angle\, \alpha\zeta\beta = 2\,\mathrm{R}$, mithin auch $\angle\, \alpha\zeta\beta + \gamma\zeta\varepsilon = 2\,\mathrm{R}$. Es ist demnach nach dem vorausgegangenen Lemma Quadrat über $\beta\zeta$ : Quadrat über $\zeta\varepsilon =$ Rechteck $\alpha\beta \,.\, \beta\gamma$ : Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\gamma$, aber Quadrat über $\beta\zeta$ : Quadrat über $\zeta\varepsilon = \beta\delta$ : $\delta\varepsilon$, folglich $\beta\delta$ : $\delta\varepsilon =$ Rechteck $\alpha\beta$ $\beta\gamma$ : Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\gamma$.

Hosted by Google

*Λῆμμα χρήσιμον εἰς τὸ δεύτερον ἐπίταγμα τοῦ αὐτοῦ προβλήματος. Πάλιν ὄντος ἴσου τοῦ ὑπὸ τῶν αδε τῷ ὑπὸ βδγ, δεῖξαι ὅτι γίνεται ὡς ἡ βδ πρὸς τὴν δγ οὕτω τὸ ὑπὸ τῶν αβε πρὸς τὸ ὑπὸ τῶν εγα. Ἐπεὶ γάρ ἐστιν ὡς ἡ βδ πρὸς τὴν δε οὕτως ἡ αδ πρὸς δγ, καὶ ὅλη ἄρα ἡ βα πρὸς ὅλην τὴν γε ἐστὶν ὡς ἡ βδ πρὸς τὴν δε. πάλιν ἐπεί ἐστιν ὡς ἡ βδ πρὸς τὴν δα οὕτως ἡ εδ πρὸς τὴν δγ, λοιπὴ ἄρα ἡ βε πρὸς λοιπὴν τὴν αγ ἐστὶν ὡς ἡ εδ πρὸς τὴν δγ. ἦν δὲ καὶ ὡς ἡ βδ πρὸς τὴν δε οὕτως ἡ αβ πρὸς τὴν γε, καὶ ὁ συγκείμενος ἄρα λόγος ἔκ τε τοῦ ὃν ἔχει ἡ βδ πρὸς τὴν δε καὶ ἐξ οὗ ὃν ἔχει ἡ εδ πρὸς τὴν δγ, ὅς ἐστιν ὁ τῆς βδ πρὸς τὴν δγ, ὁ αὐτός ἐστι τῷ συνημμένῳ ἔκ τε τοῦ τῆς αβ πρὸς τὴν γε καὶ τοῦ τῆς εβ πρὸς τὴν αγ, ὅς ἐστιν ὁ αὐτὸς τῷ τοῦ ὑπὸ τῶν αβε πρὸς τὸ ὑπὸ τῶν εγα. ἔστιν ὡς ἡ βδ πρὸς τὴν δγ οὕτω τὸ ὑπὸ τῶν αβε πρὸς τὸ ὑπὸ τῶν εγα. ὅπερ ἔδει: —*

*Ἄλλως τὸ αὐτό. Ἐπεί ἐστιν ὡς ἡ αδ πρὸς τὴν δβ οὕτως ἡ γδ πρὸς τὴν δε, λοιπὴ ἄρα ἡ αγ πρὸς λοιπὴν τὴν εβ ἐστὶν ὡς ἡ αδ πρὸς τὴν δβ. καὶ συνθέντι ἐστὶν ὡς συναμφότερος ἡ αγ, εβ πρὸς τὴν εβ οὕτως ἡ αβ πρὸς τὴν βδ· τὸ ἄρα ὑπὸ συναμφοτέρου τῆς αγ, εβ καὶ τῆς βδ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν αβε. πάλιν ἐπεί ἐστιν ὡς ἡ βδ πρὸς τὴν δα οὕτως ἡ εδ πρὸς τὴν δγ, λοιπὴ ἄρα ἡ βε πρὸς λοιπὴν τὴν γα ἐστὶν ὡς εἷς τῶν λόγων, ὡς ἡ εδ πρὸς τὴν δγ. καὶ συνθέντι ἐστὶν ὡς συναμφότερος ἡ εβ, αγ πρὸς τὴν αγ οὕτως ἡ εγ πρὸς τὴν γδ· τὸ ἄρα ὑπὸ συναμφοτέρου τῆς εβ, αγ καὶ τῆς γδ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν εγα. ἐδείχθη δὲ καὶ τὸ ὑπὸ συναμφοτέρου τῆς αγ, εβ καὶ τῆς βδ [ἴσον τῷ ὑπὸ τῶν αβε, καὶ ὡς ἄρα τὸ ὑπὸ συναμφοτέρου τῆς αγ, εβ καὶ τῆς βδ]*[1] *πρὸς τὸ ὑπὸ συναμφοτέρου τῆς αγ, εβ καὶ τῆς γδ, τουτέστιν ὡς ἡ βδ πρὸς τὴν δγ οὕτω τὸ ὑπὸ τῶν αβε πρὸς τὸ ὑπὸ τῶν εγα. ὅπερ: —*

*Ἄλλως τὸ αὐτό, προθεωρηθέντος τοῦδε· Οὔσης ἴσης τῆς αβ τῇ γδ, ἐὰν ληφθῇ τι σημεῖον τὸ ε, δεῖξαι ὅτι ἴσον ἐστὶ τὸ ὑπὸ τῶν αεδ τῷ ὑπὸ τῶν αγδ καὶ τῷ ὑπὸ βεγ. Τετμήσθω ἡ βγ δίχα κατὰ τὸ ζ σημεῖον. τὸ μὲν ἄρα ὑπὸ αεδ μετὰ τοῦ ἀπὸ εζ ἴσον ἐστὶ τῷ ἀπὸ δζ, τὸ δ' ὑπὸ αγδ μετὰ τοῦ ἀπὸ γζ ἴσον ἐστὶ τῷ ἀπὸ δζ· ὥστε καὶ τὸ ὑπὸ αεδ μετὰ τοῦ ἀπὸ εζ τετραγώνου ἴσον ἐστὶ τῷ ὑπὸ τῶν αγδ μετὰ τοῦ ἀπὸ γζ, του-*

---

[1]) Einschaltung von *Commandin.*

Hosted by Google

Lemma, welches für die zweite Anordnung desselben Problems von Nutzen ist. Wenn wiederum [*Command. XXX.*] Rechteck $\alpha\delta \,.\, \delta\varepsilon$ = Rechteck $\beta\delta \,.\, \delta\gamma$, so ist zu zeigen, dass $\beta\delta : \delta\gamma$ = Rechteck $\alpha\beta \,.\, \beta\varepsilon$ : Rechteck $\varepsilon\gamma \,.\, \gamma\alpha$.

$\alpha$ $\gamma$ $\delta$ $\varepsilon$ $\beta$

Da $\beta\delta : \delta\varepsilon = \alpha\delta : \delta\gamma$,
so ist $\alpha\beta : \gamma\varepsilon = \beta\delta : \delta\varepsilon$.
Ferner da $\beta\delta : \delta\alpha = \varepsilon\delta : \delta\gamma$,
so ist $\varepsilon\beta : \alpha\gamma = \varepsilon\delta : \delta\gamma$.
Es war aber $\beta\delta : \delta\varepsilon = \alpha\beta : \gamma\varepsilon$,
folglich $\beta\delta \,.\, \delta\varepsilon : \delta\varepsilon \,.\, \delta\gamma = \alpha\beta \,.\, \varepsilon\beta : \gamma\varepsilon \,.\, \alpha\gamma$,
mithin $\beta\delta : \delta\gamma$ = Rechteck $\alpha\beta \,.\, \varepsilon\beta$ : Rechteck $\gamma\varepsilon \,.\, \alpha\gamma$,
was zu beweisen war.

Ein anderer Beweis. Da $\alpha\delta : \delta\beta = \gamma\delta : \delta\varepsilon$,
so ist $\alpha\gamma : \varepsilon\beta = \alpha\delta : \delta\beta$,
mithin $\alpha\gamma + \varepsilon\beta : \varepsilon\beta = \alpha\beta : \delta\beta$
und Rechteck $(\alpha\gamma + \varepsilon\beta)\,\delta\beta$ = Rechteck $\alpha\beta \,.\, \beta\varepsilon$.
Ferner ist, da $\beta\delta : \delta\alpha = \varepsilon\delta : \delta\gamma$
$\varepsilon\beta : \alpha\gamma = \varepsilon\delta : \delta\gamma$,
folglich $\varepsilon\beta + \alpha\gamma : \alpha\gamma = \varepsilon\gamma : \delta\gamma$
und Rechteck $(\varepsilon\beta + \alpha\gamma)\,\delta\gamma$ = Rechteck $\alpha\gamma \,.\, \gamma\varepsilon$.
Nun war Rechteck $(\alpha\gamma + \varepsilon\beta)\,\delta\beta$ = Rechteck $\alpha\beta \,.\, \beta\varepsilon$,
folglich Rechteck $(\alpha\gamma + \varepsilon\beta)\,\delta\beta$ : Rechteck $(\alpha\gamma + \varepsilon\beta)\,\gamma\delta$ =
Reckteck $\alpha\beta \,.\, \beta\varepsilon$ : Rechteck $\alpha\gamma \,.\, \gamma\varepsilon$,
d. h. $\beta\delta : \gamma\delta$ : Rechteck $\alpha\beta \,.\, \beta\varepsilon$ : Rechteck $\alpha\gamma \,.\, \gamma\varepsilon$,
was zu beweisen war.

Dasselbe wird auf noch andere Weise [*Command. XXXI.*] bewiesen, wenn Folgendes vorher dargethan ist. Wenn $\alpha\beta = \gamma\delta$, und ein beliebiger Punkt $\varepsilon$ angenommen wird, so ist Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\delta$ = Rechteck $\alpha\gamma \,.\, \gamma\delta$ + Rechteck $\beta\varepsilon \,.\, \varepsilon\gamma$.

$\alpha$ $\beta$ $\varepsilon$ $\zeta$ $\gamma$ $\delta$

Es sei $\beta\gamma$ in $\zeta$ halbirt, so ist
Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\delta$ + Quadrat über $\varepsilon\zeta$ = Quadrat über $\delta\zeta$,
und Rechteck $\alpha\gamma \,.\, \gamma\delta$ + Quadrat über $\gamma\zeta$ = Quadrat über $\delta\zeta$,



Hosted by Google

τέστι τοῦ ὑπὸ βεγ μετὰ τοῦ ἀπὸ εζ. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ εζ τετράγωνον, λοιπὸν ἄρα τὸ ὑπὸ αεδ ἴσον ἐστὶ τῷ τε ὑπὸ αγδ καὶ τῷ ὑπὸ βεγ.

Es sei wiederum $\alpha\beta > \gamma\delta$, und man [*Command. LXVIII.*] theile $\gamma\delta$ im Punkte $\varepsilon$, so dass $\delta\varepsilon$ nicht kleiner ist als $\varepsilon\gamma$, so ist offenbar möglich, der Linie $\alpha\beta$ ein dem Rechteck $\gamma\varepsilon . \varepsilon\delta$ gleiches anzufügen, das kleiner ist, als ein Quadrat. Da nämlich $\delta\varepsilon$ nicht $< \varepsilon\gamma$, so ist $\delta\varepsilon$ entweder gleich oder grösser als $\varepsilon\gamma$; wenn sie

$\alpha$ $\quad\quad\quad\quad$ $\zeta$ $\beta$

$\gamma$ $\quad\quad$ $\varepsilon$ $\quad\quad$ $\delta$

gleich ist, so ist Rechteck $\gamma\varepsilon . \varepsilon\delta$ gleich dem Quadrat über der Hälfte von $\gamma\delta$, mithin kleiner als das Quadrat über der Hälfte von $\alpha\beta$; ist sie grösser, so ist Rechteck $\gamma\varepsilon . \varepsilon\delta$ um vieles kleiner als das Quadrat über der Hälfte von $\alpha\beta$, denn es ist auch kleiner als das Quadrat über der Hälfte von $\gamma\delta$. Es ist also möglich, ein dem Rechteck $\gamma\varepsilon . \varepsilon\delta$ gleiches der Linie $\alpha\beta$ anzufügen, das kleiner ist als ein Quadrat. Es sei dasselbe angefügt, nämlich das Rechteck $\alpha\zeta . \zeta\beta$, und es sei $\alpha\zeta$ der grössere Abschnitt, so ist $\zeta\beta < \gamma\varepsilon$. Da nämlich $\delta\varepsilon$ nicht $< \varepsilon\gamma$, so ist sie entweder gleich oder grösser.

Hosted by Google

τῶν αζβ, καὶ τὸ μεῖζον τμῆμα ἔστω ἡ αζ· ὅτι δὴ ἐλάσσων ἐστὶν ἡ ζβ τῆς γε. Ἐπεὶ γὰρ ἡ δε τῆς εγ οὐκ ἔστιν ἐλάσσων, ἤτοι ἄρα ἐστὶν ἴση ἢ μείζων. ἔστω πρότερον ἴση ἡ δε τῇ εγ. ἐπεὶ οὖν μείζων ἐστὶν ἡ αβ τῆς γδ, καὶ ἔστι τῆς μὲν αβ μείζων ἢ ἡμίσεια ἡ αζ, τῆς δὲ γδ ἡμίσεια ἡ δε· μείζων ἄρα ἐστὶν ἡ αζ τῆς δε. καὶ ἔστιν ὡς ἡ αζ πρὸς τὴν δε οὕτως ἡ γε πρὸς τὴν ζβ· μείζων ἄρα ἡ γε τῆς ζβ, ὥστε ἐλάσσων ἐστὶν ἡ ζβ τῆς γε. ἔστω δὲ μείζων ἡ δε τῆς εγ, καὶ τετμήσθω δίχα ἡ γδ κατὰ τὸ η σημεῖον, ἡ δὲ αβ δίχα κατὰ τὸ θ σημεῖον. ἐπεὶ οὖν μείζων ἐστὶν ἡ αβ τῆς γδ, καὶ ἔστι τῆς μὲν αβ ἡμίσεια [1]) ἡ θβ, τῆς δὲ γδ ἡμίσεια [1]) ἡ γη· μείζων ἄρα ἡ θβ τῆς γη, ὥστε καὶ τὸ ἀπὸ θβ τοῦ ἀπὸ γη μεῖζόν ἐστιν. ἀλλὰ τὸ μὲν ἀπὸ θβ ἴσον ἐστὶ τῷ τε ὑπὸ αζβ καὶ τῷ ἀπὸ ζθ, τὸ δὲ ἀπὸ γη ἴσον ἐστὶ τῷ τε ὑπὸ τῶν γεδ καὶ τῷ ἀπὸ τῆς εη. μεῖζον ἄρα ἐστὶ τὸ ὑπὸ αζβ μετὰ τοῦ ἀπὸ ζθ τοῦ ὑπὸ γεδ μετὰ τοῦ ἀπὸ εη. ὧν τὸ ὑπὸ αζβ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν γεδ· λοιπὸν ἄρα τὸ ἀπὸ θζ μεῖζόν ἐστι τοῦ ἀπὸ εη, ὥστε μείζων ἐστὶν ἡ θζ τῆς εη. ἔστι δὲ καὶ ἡ αθ τῆς δη μείζων, ὅλη ἄρα ἡ αζ ὅλης τῆς δε μείζων ἐστίν. καὶ ἔστιν ὡς ἡ αζ πρὸς τὴν δε οὕτως ἡ γε πρὸς τὴν ζβ· μείζων ἄρα καὶ ἡ γε τῆς ζβ, ὥστε ἐλάσσων ἐστὶν ἡ ζβ τῆς γε. ὅπερ: —

*Εἰς τὸ ἕκτον πρόβλημα.* Ἔστω ἐλάσσων μὲν ἡ αβ τῆς γδ, ἴσον δὲ τὸ ὑπὸ τῶν αεβ τῷ ὑπὸ γζδ· ὅτι ἐλάσσων ἐστὶν ἡ αε τῆς γζ. Τετμήσθωσαν δίχα αἱ αβ, γδ κατὰ τὰ θ, η σημεῖα· ἐλάσσων ἄρα ἐστὶν ἡ θβ τῆς ηδ. ἐπεὶ οὖν τὸ μὲν ὑπὸ γζδ ἴσον ἐστὶ τῷ ὑπὸ αεβ, τὸ δὲ ἀπὸ θβ ἔλασσόν ἐστι τοῦ ἀπὸ ηδ, τὸ ἄρα ὑπὸ αεβ μετὰ τοῦ ἀπὸ θβ, ὅ ἐστι τὸ ἀπὸ θε, ἔλασσόν ἐστι τοῦ ὑπὸ γζδ μετὰ τοῦ ἀπὸ ηδ, τουτέστι τοῦ ἀπὸ ηζ· ὥστε ἐλάσσων ἐστὶ ἡ εθ τῆς ηζ. ἔστι δὲ καὶ ἡ αθ τῆς γη ἐλάσσων· ὅλη ἄρα ἡ αε ὅλης τῆς γζ ἐστὶν ἐλάσσων. ὁμοίως κἂν μείζων ᾖ, ἡ ὅλη τῆς ὅλης.

*Παραθεωρούμενον ἐν τῷ ὀγδόῳ προβλήματι.* Ῥομβου ὄντος τοῦ αδ, οὗ διάμετρος ἡ βγε, ἐὰν τῶν βε,εγ μέση ἀνά-

---

[1]) So emendirt *Commandin*, die Hdsch. haben ἄρα.

Hosted by Google

Es sei zuerst $\delta\varepsilon = \varepsilon\gamma$. Da $\alpha\beta > \gamma\delta$ und $\alpha\zeta$ grösser als die Hälfte von $\alpha\beta$, $\delta\varepsilon$ aber die Hälfte von $\gamma\delta$ ist, so ist $\alpha\zeta > \delta\varepsilon$; nun ist $\alpha\zeta : \delta\varepsilon = \gamma\varepsilon : \zeta\beta$, folglich $\gamma\varepsilon > \zeta\beta$, mithin $\zeta\beta < \gamma\varepsilon$. Es sei nun $\delta\varepsilon > \varepsilon\gamma$, so halbire man $\gamma\delta$ im Punkte $\eta$, $\alpha\beta$ im Punkte $\vartheta$. Da

$\alpha \quad \vartheta \quad \zeta \quad \beta$

$\gamma \quad \varepsilon \quad \eta \quad \delta$

$\alpha\beta > \gamma\delta$ und $\vartheta\beta = \frac{1}{2}\alpha\beta$, $\gamma\eta = \frac{1}{2}\gamma\delta$, so ist $\vartheta\beta > \gamma\eta$ und Quadrat über $\vartheta\beta >$ Quadrat über $\gamma\eta$ Aber

Quadrat über $\vartheta\beta$ = Rechteck $\alpha\zeta \,.\, \zeta\beta$ + Quadrat über $\zeta\vartheta$,

Quadrat über $\gamma\eta$ = Rechteck $\gamma\varepsilon \,.\, \varepsilon\delta$ + Quadrat über $\varepsilon\eta$,

mithin Rechteck $\alpha\zeta \,.\, \zeta\beta$ + Quadrat über $\zeta\vartheta >$ Rechteck $\gamma\varepsilon \,.\, \varepsilon\delta$ + Quadrat über $\varepsilon\eta$;

nun ist Rechteck $\alpha\zeta \,.\, \zeta\beta$ = Rechteck $\gamma\varepsilon \,.\, \varepsilon\delta$,

folglich Quadrat über $\zeta\vartheta >$ Quadrat über $\varepsilon\eta$

und $\zeta\vartheta > \varepsilon\eta$.

Es ist auch $\alpha\vartheta > \delta\eta$,

daher $\alpha\zeta > \delta\varepsilon$;

da nun $\alpha\zeta : \delta\varepsilon = \gamma\varepsilon : \zeta\beta$,

so ist $\gamma\varepsilon > \zeta\beta$, mithin $\zeta\beta < \gamma\varepsilon$, was zu beweisen war.

Zur sechsten Aufgabe. Es sei $\alpha\beta < \gamma\delta$, [*Command. LXIX.*] und Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\beta$ = Rechteck $\gamma\zeta \,.\, \zeta\delta$, so ist $\alpha\varepsilon < \gamma\zeta$.

$\alpha \quad \vartheta \quad \beta \quad \varepsilon$

$\gamma \quad \eta \quad \delta \quad \zeta$

Man halbire $\alpha\beta$, $\gamma\delta$ in den Punkten $\vartheta$, $\eta$, so ist $\vartheta\beta < \eta\delta$. Da nun Rechteck $\gamma\zeta \,.\, \zeta\delta$ = Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\beta$, aber Quadrat über $\vartheta\beta <$ Quadrat über $\eta\delta$, so ist auch Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\beta$ + Quadrat über $\vartheta\beta$ (= Quadrat über $\vartheta\varepsilon$) < Rechteck $\gamma\zeta \,.\, \zeta\delta$ + Quadrat über $\eta\delta$ (= Quadrat über $\eta\zeta$), mithin $\varepsilon\vartheta < \eta\zeta$. Es ist aber $\alpha\vartheta < \gamma\eta$, folglich $\alpha\varepsilon < \gamma\zeta$. Auf ähnliche Weise wird gezeigt, dass wenn $\alpha\beta > \gamma\delta$, auch $\alpha\varepsilon > \gamma\zeta$.

Bei der achten Aufgabe zu vergleichen [*Command. LXX.*[ Wenn $\alpha\delta$ ein Rhombus, dessen Diagonale $\beta\gamma\varepsilon$, und wenn $\varepsilon\zeta$ die mittlere Proportionale zu $\beta\varepsilon$, $\varepsilon\gamma$ ist; wenn ferner um $\varepsilon$ als Mittelpunkt mit dem Radius $\varepsilon\zeta$ der Kreis $\zeta\eta\vartheta$ beschrieben und $\lambda\gamma$

Hosted by Google

λογον ληφθῇ ἡ εζ,[1] καὶ κέντρῳ μὲν τῷ ε, διαστήματι δὲ τῷ εζ κύκλος γραφῇ ὁ ζηθ. καὶ ἐκβληθῇ ἡ λγη· ἔσται εὐθεῖα ἡ διὰ τῶν η, κ, β. Ἐπεζεύχθωσαν γὰρ αἱ λε, εκ, βκ, κη, [εη].[2]) ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ὑπὸ λγζ γωνία τῇ ὑπὸ ζγκ γωνίᾳ, καὶ ἐφ' ἑκάτερα τῆς τοῦ κύκλου διαμέτρου εἰσὶν, αἱ λγ, γκ ἴσαι εἰσὶν· λῆμμα γὰρ. ἀλλὰ καὶ ἡ λε τῇ εκ ἴση ἐστὶν· γωνία ἄρα ἡ ὑπὸ γλε γωνίᾳ τῇ ὑπὸ γκε ἴση ἐστὶν. ἀλλὰ ἡ ὑπὸ γλε ἴση ἐστὶ τῇ ὑπὸ γηε, καὶ ἡ ὑπὸ γηε ἄρα ἴση ἐστὶ τῇ ὑπὸ γκε. ἔστι δὲ καὶ ἡ ὑπὸ γκε τῇ ὑπὸ γβκ, καὶ ἡ ὑπὸ γβκ ἄρα ἴση ἐστὶ τῇ ὑπὸ γηε. ἀλλὰ καὶ ἡ ὑπὸ ηγε τῇ ὑπὸ βγκ ἴση ἐστὶ, λοιπὴ ἄρα ἡ ὑπὸ γεη λοιπῇ τῇ ὑπὸ γκβ ἴση ἐστὶν. ἀλλὰ ἡ ὑπὸ γεη μετὰ τῆς γκη δυσὶν ὀρθαῖς ἴσαι εἰσὶ, καὶ ἡ ὑπὸ γκβ ἄρα μετὰ τῆς ὑπὸ γκη γωνίας δυσὶν ὀρθαῖς ἴσαι εἰσὶν, ὥστε εὐθεῖά ἐστιν ἡ διὰ τῶν β, κ, η σημείων.

*Λῆμμα χρήσιμον εἰς τὸ ἐπὶ τετράγωνον πρόβλημα, ποιοῦν τὰ αὐτὰ τῷ ῥόμβῳ.* Ἔστω τετράγωνον τὸ αδ, καὶ ἤχθω ἡ βηε, καὶ αὐτῇ ὀρθὴ ἤχθω ἡ εζ· ὅτι τὰ ἀπὸ τῶν γδ, ηε τετράγωνα ἴσα ἐστὶ τῷ ἀπὸ τῆς δζ τετραγώνῳ. Ἤχθω διὰ τοῦ ε τῇ γδ παράλληλος ἡ εθ, ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ γεθ γωνία· ἔστι δὲ καὶ ἡ ὑπὸ ζεη γωνία ὀρθὴ, ἴση ἄρα ἐστὶ καὶ ἡ ὑπὸ γεη γωνία, τουτέστιν ἡ ὑπὸ δβη γωνία τῇ ὑπὸ ζεθ γωνίᾳ. ἔστι δὲ καὶ ἡ ὑπὸ ζθε γωνία ὀρθὴ τῇ ὑπὸ βδη ἴση, καὶ ἔστιν ἴση ἡ εθ τῇ βδ, ἴση ἄρα ἐστὶ καὶ ἡ εζ τῇ ηβ ἐπεὶ δὲ τὸ ἀπὸ τῆς βζ ἴσον τοῖς ἀπὸ τῶν βε,εζ τετραγώνοις, ὧν τὸ ὑπὸ ζβδ ἴσον ἐστὶ τῷ ὑπὸ εβη, ἐν κύκλῳ γάρ ἐστι τὰ δ, ζ, ε, η σημεῖα, λοιπὸν ἄρα τὸ ὑπὸ βζδ ἴσον ἐστὶ τῷ τε ὑπὸ βεη καὶ τῷ ἀπὸ εζ τετραγώνῳ, τουτέστι καὶ τῷ ἀπὸ βη τετραγώνῳ. ἀλλὰ τῷ ὑπὸ βεη μετὰ τοῦ ἀπὸ βη τετραγώνου [ἴσον ἐστὶ] τὸ ὑπὸ εβη μετὰ τοῦ ἀπὸ εη· τὸ ἄρα ὑπὸ βζδ ἴσον ἐστὶ τῷ τε ὑπὸ εβη, τουτέστιν ὑπὸ ζβδ, καὶ τῷ ἀπὸ ηε. κοινὸν ἀφῃρήσθω τὸ ὑπὸ βδζ, λοιπὸν ἄρα τὸ ἀπὸ ζδ ἴσον ἐστὶ

---

1) So emendirt *Commandin*, die Hdsch. haben βζ.

2) Einschaltung von *Horsley*.

Hosted by Google

bis $\eta$ verlängert wird, so ist die Linie, die durch die Punkte $\eta$ $\varkappa$, $\beta$ geht, eine gerade.

Man ziehe $\lambda\varepsilon$, $\varkappa\varepsilon$, $\beta\varkappa$, $\varkappa\eta$, $\varepsilon\eta$.




Da $\angle\lambda\gamma\zeta = \angle\zeta\gamma\varkappa$ und diese Winkel auf beiden Seiten des Durchmessers des Kreises liegen, so ist $\lambda\gamma = \gamma\varkappa$, wie in einem Lemma gezeigt ist. Aber $\lambda\varepsilon = \varepsilon\varkappa$, mithin $\angle\gamma\lambda\varepsilon = \angle\gamma\varkappa\varepsilon$. Nun ist $\angle\gamma\lambda\varepsilon = \angle\gamma\eta\varepsilon$, mithin $\angle\gamma\varkappa\varepsilon = \angle\gamma\eta\varepsilon$. Es ist aber $\angle\gamma\varkappa\varepsilon = \angle\gamma\beta\varkappa$, daher $\angle\gamma\beta\varkappa = \angle\gamma\eta\varepsilon$. Ferner ist $\angle\eta\gamma\varepsilon = \angle\beta\gamma\varkappa$, folglich $\angle\gamma\varepsilon\eta = \angle\gamma\varkappa\beta$. Nun ist aber $\angle\gamma\varepsilon\eta + \angle\gamma\varkappa\eta = 2\,\mathrm{R}$, mithin auch $\angle\gamma\varkappa\beta + \angle\gamma\varkappa\eta = 2\,\mathrm{R}$, daher ist die durch die Punkte $\beta$, $\varkappa$, $\eta$ gehende Linie eine gerade.

Ein Lemma für die Aufgabe in Betreff [*Command. LXXI.*] eines Quadrats zu gebrauchen; dasselbe gilt auch für den Rhombus. Zieht man in dem Quadrat $\alpha\delta$ die Linie $\beta\eta\varepsilon$ und auf ihr die Senkrechte $\varepsilon\zeta$, so ist Quadrat über $\gamma\delta$ + Quadrat über $\eta\varepsilon$ = Quadrat über $\delta\zeta$.




Zieht man durch $\varepsilon$ $\varepsilon\vartheta \parallel \gamma\delta$, so ist $\angle\gamma\varepsilon\delta = \mathrm{R}$, aber $\angle\zeta\varepsilon\eta = \mathrm{R}$, daher $\angle\gamma\varepsilon\eta$ d. h. $\angle\delta\beta\eta = \angle\zeta\varepsilon\vartheta$. Es ist aber auch $\angle\zeta\vartheta\varepsilon = \angle\beta\delta\eta = \mathrm{R}$, und $\varepsilon\vartheta = \beta\delta$, folglich $\varepsilon\zeta = \eta\beta$.

Da nun Quadrat über $\beta\zeta$ = Quadrat über $\beta\varepsilon$ + Quadrat über $\varepsilon\zeta$,
und Rechteck $\zeta\beta\,.\,\beta\delta$ = Rechteck $\varepsilon\beta\,.\,\beta\eta$,
(es liegen nämlich die Punkte $\delta$, $\zeta$, $\varepsilon$, $\eta$ auf der Peripherie eines Kreises),
so ist als Differenz Rechteck $\beta\zeta\,.\,\zeta\delta$ = Rechteck $\beta\varepsilon\,.\,\varepsilon\eta$ + Quadrat über $\varepsilon\zeta$ = Rechteck $\beta\varepsilon\,.\,\varepsilon\eta$ + Quadrat über $\beta\eta$.
Aber Rechteck $\beta\varepsilon\,.\,\varepsilon\eta$ + Quadrat über $\beta\eta$ = Rechteck $\varepsilon\eta\,.\,\beta\eta$ + Quadrat über $\varepsilon\eta$,
mithin Rechteck $\beta\zeta\,.\,\zeta\delta$ = Rechteck $\varepsilon\beta\,.\,\beta\eta$ (d. h. Rechteck $\zeta\beta\,.\,\beta\delta$) + Quadrat über $\varepsilon\eta$.



Hosted by Google

τοῖς ἀπὸ τῶν βδ, ηε, τουτέστι τοῖς ἀπὸ τῶν γδ, ηε τετραγώνοις.

Πρόβλημα ὡς Ἡράκλειτος. Τετραγώνου ὄντος τοῦ αδ, ἐκβάλλειν αγ ἐπὶ τὸ ε καὶ ποιεῖν δοθεῖσαν τὴν εζ νεύουσαν ἐπὶ τὸ β.[1]) Γεγονέτω, καὶ ἀπὸ τοῦ ε σημείου τῇ βε ὀρθογώνιος εὐθεῖα ἤχθω ἡ εη. ἐπεὶ οὖν τὰ ἀπὸ τῶν γδ, ζε τετράγωνα [ἴσα][2]) ἐστὶ τῷ ἀπὸ δη τετραγώνῳ, δοθέντα δὲ τὰ ἀπὸ τῶν γδ, ζε, δοθέντα γὰρ ἑκάτερα τῷ μεγέθει, δοθὲν ἄρα καὶ τὸ ἀπὸ δη· δοθεῖσα ἄρα ἐστὶν ἡ δη τῷ μεγέθει. καὶ ὅλη ἄρα ἡ βη δέδοται τῷ μεγέθει· ἀλλὰ καὶ τῇ θέσει. δέδοται ἄρα τῇ θέσει τὸ ἐπεὶ τῆς βη ἡμικύκλιον καὶ ἔρχεται διὰ τοῦ ε. τὸ ε ἄρα θέσει περιφερείας ἅπτεται, ἀλλὰ καὶ θέσει εὐθείας τῆς αε· δοθὲν[3]) ἄρα ἐστὶν. ἀλλὰ καὶ τὸ β ἐστὶ δοθὲν· θέσει ἄρα ἐστὶν ἡ βε. Συντεθήσεται δὴ τὸ πρόβλημα οὕτως· ἔστω τὸ μὲν τετράγωνον τὸ αδ, ἡ δὲ δοθεῖσα εὐθεῖα ἡ θ, καὶ τοῖς ἀπὸ τῶν γδ, θ ἴσον ἔστω τὸ ἀπὸ τῆς δη τετράγωνον· μείζων ἄρα ἐστὶν ἡ ηδ τῆς δγ, ὥστε καὶ τὸ ὑπὸ ηδ,δβ μεῖζόν ἐστι τοῦ ἀπὸ δγ. τὸ ἄρα ἐπὶ τῆς βη ἡμικύκλιον γραφόμενον ὑπερπεσεῖται τὸ γ σημεῖον. γεγράφθω καὶ ἔστω τὸ βκεη, καὶ ἐκβεβλήσθω ἡ αγ ἐπὶ τὸ ε, καὶ ἐπεζεύχθωσαν αἱ βε, εη. τὰ ἄρα ἀπὸ τῶν γδ, εζ τετράγωνα ἴσα ἐστὶ τῷ ἀπὸ ηδ τετραγώνῳ, τῷ δὲ ἀπὸ δη ἴσα εἰσὶ τὰ ἀπὸ τῶν γδ, θ τετράγωνα, ἴσα ἄρα ἐστὶ τὰ ἀπὸ τῶν γδ, θ τετράγωνα τοῖς ἀπὸ τῶν γδ, εζ, ὥστε ἴσον ἐστὶ τὸ ἀπὸ θ τῷ ἀπὸ εζ τετραγώνῳ· ἴση ἄρα ἐστὶν ἡ θ τῇ εζ. καὶ ἔστι δοθεῖσα ἡ εζ· ἡ εζ ἄρα ποιεῖ τὸ πρόβλημα. λέγω δὴ ὅτι καὶ μόνη· διήχθω γάρ τις καὶ ἑτέρα ἡ βλ. εἰ δὴ καὶ ἡ βλ ποιεῖ τὸ πρόβλημα, ἔσται ἴση ἡ νλ τῇ εζ· μείζων δὲ ἡ ζβ τῆς νβ, ὅλη ἄρα ἡ βλ ἐλάσσων ἐστὶ τῆς βε, ὅπερ ἄτοπον· ἔστι γὰρ μείζων. οὐκ ἄρα ἡ βλ ποιεῖ τὸ πρόβλημα· ἡ βε ἄρα μόνη. ἵνα δὲ καὶ ἐπιγνῶμεν, ποτέρα τῶν νλ, ζε μείζων, δείξομεν οὕτως· ἐπεὶ μείζων ἐστὶν ἡ μὲν λβ τῆς βε, ἡ δὲ βζ τῆς βν, λοιπὴ ἄρα ἡ νλ τῆς ζε μείζων ἐστί. καὶ φανερὸν ὅτι αἰεὶ ἡ ἐγγίστα τοῦ γ σημείου τῆς ἀπώτερον ἐλάσσων.

---

[1]) So emendirt *Commandin* diese Stelle; die Hdsch. haben: *τετραγώνου ὄντος θέσει τοῦ αδθ εἶναι δοθεῖσαν* etc.

[2]) Einschaltung von *Commandin*.

[3]) So emendirt *Commandin*, die Hdsch. haben *δοθεῖσα*

Hosted by Google

Wird nun das gemeinsame Rechteck $\beta\delta \,.\, \delta\zeta$ subtrahirt, so ist

Quadrat über $\delta\zeta$ = Quadrat über $\beta\delta$ + Quadrat über $\varepsilon\eta$
= Quadrat über $\gamma\delta$ + Quadrat über $\varepsilon\eta$.

Eine Aufgabe nach Heraklitus. Die [*Command. LXXII*] Seite $\alpha\gamma$ des Quadrats $\alpha\delta$ bis zum Punkte $\varepsilon$ zu verlängern, so dass die gegebene Linie $\varepsilon\zeta$ verlängert den Punkt $\beta$ trifft.




Es sei geschehen. Man ziehe vom Pkte. $\varepsilon$ auf $\beta\varepsilon$ rechtwinklig die Gerade $\varepsilon\eta$. Da nun Quadrat über $\gamma\delta$ + Quadrat über $\zeta\varepsilon$ = Quadrat über $\delta\eta$ und die Quadrate über $\gamma\delta$ und über $\zeta\varepsilon$ gegeben sind, denn ein jedes ist der Grösse nach gegeben, so ist auch Quadrat über $\delta\eta$ gegeben, mithin ist $\delta\eta$ der Grösse nach gegeben, daher die ganze Linie $\beta\eta$ der Grösse nach gegeben. Sie ist aber auch der Lage nach gegeben. Mithin ist der über $\beta\eta$ beschriebene Halbkreis der Lage nach gegeben und geht durch den Punkt $\varepsilon$. Der Punkt $\varepsilon$ liegt also auf der Peripherie; aber er liegt auch auf der der Lage nach gegebenen Geraden $\alpha\varepsilon$, ist also gegeben. Ferner ist der Punkt $\beta$ gegeben, folglich ist $\beta\varepsilon$ der Lage nach gegeben.

Synthesis. Es sei $\alpha\delta$ das Quadrat, $\vartheta$ die gegebene Gerade; es sei ferner Quadrat über $\gamma\delta$ + Quadrat über $\vartheta$ = Quadrat über $\delta\eta$, so ist $\eta\delta > \delta\gamma$, daher Rechteck $\eta\delta \,.\, \delta\beta >$ Quadrat über $\delta\gamma$; mithin wird der über $\beta\eta$ beschriebene Halbkreis über den Punkt $\gamma$ hinausgehen. Wird nun der Halbkreis $\beta\varkappa\varepsilon\eta$ beschrieben, $\alpha\gamma$ bis zum Punkt $\varepsilon$ verlängert und $\beta\varepsilon$, $\varepsilon\eta$ gezogen, so ist Quadrat über $\gamma\delta$ + Quadrat über $\varepsilon\zeta$ = Quadrat über $\eta\delta$, aber nach der Annahme ist Quadrat über $\delta\eta$ = Quadrat über $\gamma\delta$ + Quadrat über $\vartheta$, mithin Quadrat über $\gamma\delta$ + Quadrat über $\vartheta$ = Quadrat über $\gamma\delta$ + Quadrat über $\varepsilon\zeta$, folglich Quadrat über $\vartheta$ = Quadrat über $\varepsilon\zeta$, und $\vartheta = \varepsilon\zeta$. Es ist mithin $\varepsilon\zeta$ gegeben, folglich löst $\varepsilon\zeta$ die Aufgabe. Ich behaupte nun, dass sie allein die Aufgabe löst. Zieht man nämlich irgend eine andere Linie $\beta\lambda$, so wird, wenn auch diese letztere die Aufgabe löst, $\nu\lambda = \nu\zeta$ sein; es ist aber $\zeta\beta >$,



Hosted by Google

*Λῆμμα χρήσιμον εἰς τὸν τοῦ $\overline{\vartheta}$ θεωρήματος διορισμὸν, ὡς ἐν τοῖς ἀρχαίοις. Ἔστω ἴση ἡ βα τῇ αγ, καὶ τετμήσθω ἡ βγ δίχα κατὰ τὸ δ σημεῖον· ὅτι ἐλαχίστη ἐστὶν ἡ βγ πασῶν τῶν διὰ τοῦ δ σημείου διαγομένων εὐθειῶν. Διήχθω γάρ τις καὶ ἑτέρα ἡ εζ, καὶ ἐκβεβλήσθω ἡ αβ ἐπὶ τὸ ζ· ὅτι μείζων ἐστὶν ἡ εζ τῆς γβ. ἐπεὶ μείζων ἐστὶν ἡ ὑπὸ αβγ γωνία, τουτέστιν ἡ γ, τῆς βζε, δυνατόν ἐστι τῇ ὑπὸ βζε ἴσην ἀπὸ τῆς γ ἀφελεῖν· ἔστω αὐτὴ ἴση ἡ ὑπὸ δγη γωνία. ἔστιν ἄρα ὡς ἡ ζδ πρὸς τὴν δβ οὕτως ἡ γδ πρὸς τὴν δη, μείζων δὲ ἡ ζδ τῆς δβ, μείζων ἄρα καὶ ἡ γδ τῆς δη. ἐπεὶ οὖν μείζων ἐστὶν ἡ ζδ τῆς δβ, τουτέστι τῆς δγ, ἀλλὰ ἡ δγ τῆς δη μείζων ἐστὶν· ἐπεὶ οὖν τέσσαρες εὐθεῖαι ἀνάλογόν εἰσιν αἱ ζδ, δβ, δγ, δη, καὶ ἔστι μεγίστη μὲν ἡ ζδ, ἐλαχίστη δὲ ἡ δη, μείζων ἄρα ἐστὶν ἡ ζη τῆς βγ, ὥστε ἡ βγ ἐλάσσων ἐστὶ τῆς ζη· πολλῷ ἄρα ἐλάσσων ἐστὶ τῆς εζ. ὁμοίως δείξομεν ὅτι καὶ πασῶν τῶν διὰ τοῦ δ διαγομένων εὐθειῶν ἐλάσσων ἐστὶν ἡ βγ· ἡ βγ ἄρα ἐλάσσων ἐστὶ πασῶν τῶν διὰ τοῦ δ διαγομένων εὐθειῶν. λέγω δὴ ὅτι καὶ ἡ ἐγγυτέρα αὐτῆς τῆς ἀπώτερον ἐλάσσων ἐστὶν. διήχθω γάρ τις καὶ ἑτέρα ἡ θκ, καὶ τῇ κ γωνίᾳ ἴση συνεστάτω ἡ ὑπὸ δελ· δυνατὸν γὰρ. πάλιν δὴ μείζων ἡ μὲν κδ τῆς ζδ, ἡ δὲ εδ τῆς δλ, ὥστε ὅλη ἡ κλ μείζων ἐστὶ τῆς εζ· πολλῷ ἄρα μείζων ἡ θκ τῆς εζ, ὥστε ἐλάσσων ἐστὶν ἡ εζ τῆς θκ. ἐλάσσων μὲν ἄρα ἐστὶν ἡ βγ πασῶν τῶν διὰ τοῦ δ διαγομένων εὐθειῶν, ἡ δὲ ἐγγυτέρα αὐτῆς τῆς ἀπώτερον ἐλάσσων.*

*Τούτου ὄντος, φανερὸς ὁ διορισμός. ἐὰν γὰρ ἐκθώμεθα τὸν ῥόμβον τὸν αβγδ, καὶ ἐπιζεύξας τὴν αδ ἀγάγω αὐτῇ ὀρθὴν τὴν εζ συμπίπτουσαν ταῖς αγ, αβ κατὰ τὰ ε, ζ, δεῖ με*

Hosted by Google

$\nu\beta$, mithin $\beta\lambda < \beta\varepsilon$, was ungereimt ist, denn es ist $\beta\lambda > \beta\varepsilon$. Daher löst $\beta\lambda$ die Aufgabe nicht, sondern nur allein $\beta\varepsilon$. Welche von den beiden Linien $\nu\lambda$, $\zeta\varepsilon$ die grössere ist, wird auf folgende Weise dargethan. Da $\beta\lambda > \beta\varepsilon$ und $\beta\zeta > \beta\nu$, so ist $\nu\lambda > \zeta\varepsilon$. Offenbar ist auch die dem Punkt $\gamma$ nähere Linie kleiner als die entferntere.

Ein Lemma zur Determination des [*Command. LXXIII.*] neunten Theorems zu gebrauchen, wie es bei den Alten gefunden wird. Es sei $\alpha\beta = \alpha\gamma$, und es werde $\beta\gamma$ im Punkte $\delta$ halbirt, so ist unter allen Geraden die durch den Punkt $\delta$ gezogen werden, $\beta\gamma$ die kleinste.




Zieht man durch den Punkt $\delta$ irgend eine andere Gerade $\varepsilon\zeta$ und verlängert $\alpha\beta$ bis $\zeta$, so soll $\varepsilon\zeta > \gamma\beta$ sein. Da $\angle\, \alpha\beta\gamma\ (= \angle\, \gamma) > \angle\, \beta\zeta\varepsilon$, so kann man von $\angle\, \gamma$ einen Theil wegnehmen, der $\angle\, \beta\zeta\varepsilon$ gleich ist. Es sei dies $\angle\, \delta\gamma\eta$. Nun ist $\zeta\delta : \delta\beta = \gamma\delta : \delta\eta$, aber $\zeta\delta > \delta\beta$, folglich $\gamma\delta > \delta\eta$. Da nun $\zeta\delta > \delta\beta$ d. h $> \delta\gamma$ und $\delta\gamma > \delta\eta$, da ferner die vier Linien $\zeta\delta$, $\delta\beta$, $\delta\gamma$, $\delta\eta$ proportional sind, und $\zeta\delta$ die grösste, $\delta\eta$ die kleinste ist, so ist $\zeta\eta > \beta\gamma$, mithin $\beta\gamma < \zeta\eta$, und daher um vieles kleiner als $\varepsilon\zeta$. Auf gleiche Weise wird dargethan, dass auch $\beta\gamma$ kleiner ist als alle andern durch den Punkt $\delta$ gezogene Geraden. Demnach ist $\beta\gamma$ kleiner als alle durch den Punkt $\delta$ gezogene Geraden. Ich behaupte nun, dass auch die $\beta\gamma$ nähere kleiner ist als die entferntere. Zieht man nämlich irgend eine andere $\vartheta\varkappa$ durch den Punkt $\delta$ und ist $\angle\, \varkappa = \angle\, \delta\varepsilon\lambda$, was möglich ist, so ist wiederum $\varkappa\delta > \zeta\delta$ und $\varepsilon\delta > \delta\lambda$, mithin $\varkappa\lambda > \varepsilon\zeta$, folglich $\vartheta\varkappa$ um vieles grösser als $\varepsilon\zeta$, daher $\varepsilon\zeta < \vartheta\varkappa$. Demnach ist $\beta\gamma$ kleiner als alle durch den Punkt $\delta$ gezogene Linien, und die ihr nähere kleiner als die entferntere.

Nachdem dies vorausgeschickt, hat [*Command. LXXIV.*] die Determination keine Schwierigkeit. Zieht man nämlich in dem Rhombus $\alpha\beta\gamma\delta$ die Linie $\alpha\delta$ und auf ihr senkrecht die Linie $\varepsilon\zeta$,

Hosted by Google

διορίζεσθαι πότερον μεγίστη ἐστὶν ἢ ἐλάσσων πασῶν τῶν διὰ τοῦ δ διαγομένων εὐθειῶν. καὶ ἐπεὶ διαγώνιός ἐστιν ἡ αδ, καὶ τῇ αδ ὀρθὴ ἡ εζ, γένονέ μοι ἰσοσκελὲς τρίγωνον τὸ εαζ, ἴσην ἔχον τὴν εα τῇ αζ. διὰ δὴ τὸ προγεγραμμένον λῆμμα γίνεται ἡ εζ ἐλάσσων πασῶν τῶν διὰ τοῦ δ διαγομένων εὐθειῶν, καὶ αἰεὶ ἡ ἔγγιον αὐτῆς τῆς ἀπώτερον ἐλάσσων.

## Νεύσεων δεύτερον.

Ἡμικύκλιον τὸ ἐπὶ τῆς αβ, διήχθω τυχοῦσα ἡ δε, καὶ ἐπ᾽ αὐτὴν κάθετοι αἱ αδ, βε· [ὅτι] ἴση ἐστὶν ἡ δζ τῇ ηε. Εἰλήφθω τὸ [κέντρον τὸ θ καὶ] [1]) ἐπὶ τὴν δε κάθετος ἤχθω ἡ θκ· παράλληλος ἄρα ἐστὶ ταῖς αδ, βε, καὶ ἴση ἐστὶν ἡ ζκ τῇ κη. ἐπεὶ δὲ τρεῖς εἰσι παράλληλοι αἱ αδ, θκ, βε, καὶ ἔστιν ἴση ἡ αθ τῆς θβ, ἴση ἄρα καὶ ἡ δκ τῇ κε, ὧν ἡ ζκ τῇ κη ἐστὶν ἴση, λοιπὴ ἄρα ἡ δζ λοιπῇ τῇ ηε ἐστὶν ἴση. καὶ φανερὸν ὅτι καὶ ἡ δη τῇ εζ ἴση ἐστίν.

Ἔστω πάλιν ἡμικύκλιον τὸ ἐπὶ τῆς αβ, καὶ ἐφαπτομένη ἤχθω ἡ γδ καὶ ἐκβεβλήσθω, καὶ κάθετοι ἐπ᾽ αὐτὴν αἱ αε, βζ· ὅτι πάλιν ἴση ἡ εδ τῇ δζ. Ἔστω τὸ κέντρον τὸ η, καὶ ἐπεζεύχθω ἡ δη· παράλληλος ἄρα ἐστὶ ταῖς αε, βζ, γίνονται γὰρ ὀρθαὶ αἱ πρὸς τῷ δ γωνίαι. ἐπεὶ οὖν τρεῖς παράλληλοι αἱ αε, ηδ, βζ, καὶ ἴση ἐστὶν ἡ αη τῇ ηβ, ἴση ἄρα ἐστὶ καὶ ἡ εδ τῇ δζ. ὅπερ: —

---

[1]) Einschaltung von *Commandin*.

Hosted by Google




welche die verlängerten $\alpha\gamma$, $\alpha\beta$ in den Punkten $\varepsilon$, $\zeta$ schneidet, so soll bestimmt werden, ob sie die grösste oder ob sie kleiner ist als alle durch den Punkt $\delta$ gezogene Geraden. Da $\alpha\delta$ eine Diagonale ist und $\varepsilon\zeta$ auf ihr senkrecht steht, so ist $\triangle \varepsilon\alpha\zeta$ gleichschenklig, indem $\varepsilon\alpha = \alpha\zeta$. Nach dem vorausgegangenen Lemma ist demnach $\varepsilon\zeta$ kleiner als alle durch den Punkt $\delta$ gezogene Linien, und die ihr nähere immer kleiner als die entferntere.

## Ueber Neigungen.

### Zweites Buch.

Zieht man durch den Halbkreis über [*Command. LXXV.*] $\alpha\beta$ die beliebige Gerade $\delta\varepsilon$, und fällt darauf die Senkrechten $\alpha\delta$, $\beta\varepsilon$, so ist $\delta\zeta = \eta\varepsilon$.




Wird von dem Mittelpunkt $\vartheta$ auf $\delta\varepsilon$ die Senkrechte $\vartheta\varkappa$ gefällt, so ist $\vartheta\varkappa \parallel \alpha\delta \parallel \beta\varepsilon$, und $\zeta\varkappa = \varkappa\eta$. Da nun die drei Linien $\alpha\delta$, $\vartheta\varkappa$, $\beta\varepsilon$ parallel sind und $\alpha\vartheta = \vartheta\beta$, so ist $\delta\varkappa = \varkappa\varepsilon$; hiervon ist $\zeta\varkappa = \varkappa\eta$, mithin $\delta\zeta = \eta\varepsilon$. Offenbar ist auch $\delta\eta = \varepsilon\zeta$.

Es sei an den Halbkreis über $\alpha\beta$ die [*Command. LXXVI.*] Tangente $\gamma\delta$ gezogen und auf die letztere die Senk echten $\alpha\varepsilon$, $\beta\zeta$ gefällt, so ist wiederum $\varepsilon\delta = \delta\zeta$.




Man verbinde d Mittelpunkt $\eta$ it $\delta$, so ist $\eta\delta \parallel \alpha\varepsilon \parallel \beta\zeta$, denn die Winkel bei $\delta$ sind rechte. Da nun die drei Linien $\alpha\varepsilon$, $\eta\delta$, $\beta\zeta$ parallel sind und $\alpha\eta = \eta\beta$, so ist auch $\varepsilon\delta = \delta\zeta$, was zu beweisen war.

Hosted by Google

*Εἰς τὸ πέμπτον πρόβλημα. Ἔστω δύο ἡμικύκλια ἐπὶ τῆς αγ τὰ αβγ, δεζ. καὶ ἔστω ἴση ἡ αδ τῇ γζ, καὶ ἀπὸ τοῦ γ διήχθω ἡ βγ· ὅτι ἴση ἐστὶ καὶ ἡ βε τῇ ηγ. Ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ αδ τῇ γζ, περὶ τὸ αὐτὸ κέντρον ἐστὶ τὰ ἡμικύκλια, εἰλήφθω γὰρ τὸ κέντρον τῶν ἡμικυκλίων τὸ θ, καὶ ἀπὸ τοῦ θ ἐπὶ τὴν ηε κάθετος ἤχθω ἡ θκ, ἴση ἄρα ἐστὶν ἡ εκ τῇ κη. ἐπεζεύχθω οὖν ἡ αβ. καὶ ἐπεὶ παράλληλοί εἰσιν αἱ αβ, θκ, καὶ ἔστιν ἴση ἡ αθ τῇ θγ, ἴση ἄρα ἐστὶ καὶ ἡ βκ τῇ κγ, ὧν ἡ εκ τῇ κη ἴση ἐστὶ, λοιπὴ ἄρα ἡ βε λοιπῇ τῇ ηγ ἐστὶν ἴση φανερὸν δὴ ὅτι καὶ ἡ βη τῇ εγ ἐστὶν ἴση. ὅπερ: —*

*Ἔστω δὴ πάλιν τὰ αβγ, δεζ ἡμικύκλια, καὶ ἀπὸ τοῦ γ ἤχθω ἐφαπτομένη τοῦ δεζ ἡ γε καὶ ἐκβεβλήσθω ἐπὶ τὸ β· ὅτι ἴση ἐστὶν ἡ βε τῇ εγ, ἴσης οὔσης τῆς αδ τῇ ζγ. Φανερὸν ὅτι περὶ τὸ αὐτὸ κέντρον εἰσὶ τὰ ἡμικύκλια· εἰλήφθω πάλιν τὸ κέντρον τῶν ἡμικυκλίων τὸ η, καὶ ἐπεζεύχθωσαν αἱ ηε, αβ. ὀρθὴ ἄρα ἐστὶν ἡ πρὸς τῷ ε γωνία, ἀλλὰ καὶ ἡ πρὸς τῷ β, παράλληλος ἄρα ἐστὶν ἡ αβ τῇ εη, καὶ ἴση ἐστὶν ἡ αη τῇ γη, ἴση ἄρα ἐστὶ καὶ ἡ βε τῇ εγ. ὅπερ: —*

*Εἰς τὸ ἕβδομον. Ἔστω πάλιν τὰ αβγ, δεζ ἡμικύκλια, καὶ ἔστω ἴση ἡ αδ τῇ ζγ, καὶ προσαναπεπληρώσθω[1]) ὁ μείζων κύκλος, καὶ διὰ τοῦ ζ ἤχθω τις ἡ βη· ὅτι ἴση ἐστὶν ἡ βε τῇ ζη. Ἔστω τὸ κέντρον τὸ θ, καὶ ἀπὸ τοῦ θ ἐπὶ τὴν βη κάθετος ἤχθω ἡ θκ· ἴση ἄρα ἐστὶν ἡ βκ τῇ κη. ἐπεζεύχθω δὴ ἡ εδ. ἐπεὶ οὖν παράλληλοί εἰσιν αἱ δε, θκ, καὶ ἔστιν ἴση ἡ δθ τῇ θζ, ἴση ἄρα[2]) ἐστὶ καὶ ἡ εκ τῇ κζ. ἔστι δὲ καὶ ὅλη ἡ βκ ὅλῃ τῇ κη ἴση· λοιπὴ ἄρα ἡ βε λοιπῇ τῇ ζη ἴση ἐστὶν. ὅπερ: — φανερὸν ὅτι καὶ ἡ βζ τῇ εη ἴση ἐστὶν.*

---

[1]) Die Hdsch. haben *προσαναγεγραμμένος*.

[2]) So emendirt *Commandin*, die Hdsch. haben *ὅλη γὰρ*.

Hosted by Google

Zur fünften Aufgabe. Sind über $\alpha\gamma$ [*Command. LXXVII.*] die beiden Halbkreise $\alpha\beta\gamma$, $\delta\varepsilon\zeta$ beschrieben, und ist $\alpha\delta = \gamma\zeta$, und zieht man von $\gamma$ die Linie $\beta\gamma$, so ist $\beta\varepsilon = \eta\gamma$.




Da nämlich $\alpha\delta = \gamma\zeta$, so sind die beiden Halbkreise um denselben Mittelpunkt $\vartheta$ beschrieben. Es sei von $\vartheta$ auf $\eta\varepsilon$ die Senkrechte $\vartheta\varkappa$ gefällt, so ist $\varepsilon\varkappa = \varkappa\eta$. Zieht man nun $\alpha\beta$, so ist $\alpha\beta \parallel \vartheta\varkappa$, und da $\alpha\vartheta = \vartheta\gamma$, so ist $\beta\varkappa = \varkappa\gamma$, folglich, weil $\varepsilon\varkappa = \varkappa\eta$, $\beta\varepsilon = \eta\gamma$. Offenbar ist auch $\beta\eta = \varepsilon\gamma$, was zu beweisen war.

Bleiben die Halbkreise $\alpha\beta\gamma$, $\delta\varepsilon\zeta$, [*Command. LXXVIII.*] und es sei von $\gamma$ an den Halbkreis $\delta\varepsilon\zeta$ die Tangente $\gamma\varepsilon$ gezogen, die bis $\beta$ geht, so ist, da $\alpha\delta = \zeta\gamma$, $\beta\varepsilon = \varepsilon\gamma$.




Offenbar sind die beiden Halbkreise um denselben Mittelpunkt $\eta$ beschrieben. Zieht man die Linien $\eta\varepsilon$, $\alpha\beta$, so sind die Winkel bei $\varepsilon$ und bei $\beta$ rechte, mithin $\alpha\beta \parallel \varepsilon\eta$, und da $\alpha\eta = \gamma\eta$, so ist $\beta\varepsilon = \varepsilon\gamma$, was zu beweisen war.

Zur siebenten Aufgabe. Bleiben die [*Command. LXXIX.*] Halbkreise $\alpha\beta\gamma$, $\delta\varepsilon\zeta$ und ist $\alpha\delta = \zeta\gamma$; wird nun der grössere Kreis vervollständigt u. durch $\zeta$ die beliebige $\beta\eta$ gezogen, so ist $\beta\varepsilon = \zeta\eta$.




Von dem Mittelpunkt $\vartheta$ sei auf $\beta\eta$ die Senkrechte $\vartheta\varkappa$ gefällt, so ist $\beta\varkappa = \varkappa\eta$. Zieht man nun $\varepsilon\delta$, so ist $\delta\varepsilon \parallel \vartheta\varkappa$, und da $\delta\vartheta = \vartheta\zeta$, so ist $\varepsilon\varkappa = \varkappa\zeta$; es ist aber $\beta\varkappa = \varkappa\eta$, mithin $\beta\varepsilon = \zeta\eta$, was zu beweisen war. Offenbar ist auch $\beta\zeta = \varepsilon\eta$.

Hosted by Google

*Εἰς τὸ ἔννατον. Ἔστω δύο ἡμικύκλια τὰ αβγ, δεζ, καὶ τῇ αδ ἴση κείσθω ἡ ζη, καὶ διαχθείσης τῆς βγ ἀπὸ τοῦ η ἐπ᾽ αὐτὴν κάθετος ἤχθω ἡ ηϑ· ὅτι ἴση ἐστὶν ἡ βε τῇ κϑ. Εἰλήφϑω τὸ κέντρον τοῦ δεζ ἡμικυκλίου τὸ λ, καὶ ἀπὸ τοῦ λ ἐπὶ τὴν κε κάθετος ἤχϑω ἡ λμ· ἴση ἄρα ἐστὶν ἡ εμ τῇ μκ. ἐπεὶ δὲ ἴση ἐστὶν ἡ μὲν αδ τῇ ζη, ἡ δὲ δλ τῇ λζ, ὅλη ἄρα ἡ αλ ὅλῃ τῇ λη ἴση ἐστί. καί εἰσι τρεῖς παράλληλοι αἱ αβ, μλ, ϑη, ἴση ἄρα ἡ βμ τῇ μϑ, ὧν ἡ εμ τῇ μκ ἴση ἐστὶ λοιπὴ ἄρα ἡ βε λοιπῇ τῇ κϑ ἴση ἐστὶν. φανερὸν δὴ ὅτι καὶ ἡ βκ τῇ εϑ ἴση ἐστὶν.*

*Τῶν αὐτῶν ὑποκειμένων, ἐφαπτέσϑω*[1]) *ἡ βγ τοῦ δεζ ἡμικυκλίου· ὅτι πάλιν ἡ βε τῇ εϑ ἴση ἐστὶν. Πάλιν εἰλήφϑω τὸ κέντρον τοῦ δεζ ἡμικυκλίου τὸ λ, καὶ ἐπεζεύχϑω ἡ λε· κάθετος ἄρα ἐστὶν ἐπὶ τὴν βγ. καὶ γεγόνασι τρεῖς παράλληλοι αἱ αβ, ελ, ηϑ, καὶ ἔστιν ἴση ἡ αλ τῇ λη· ἴση ἄρα καὶ ἡ βε τῇ εϑ. ὅπερ: —*

*Εἰς τὸ ὄγδοον. Ἔστω δύο ἡμικύκλια τὰ αβγ, δεζ, καὶ ἔστω ἐλάσσων ἡ αδ τῆς γζ, καὶ τῇ αδ ἴση κείσθω ἡ γη, καὶ προσαναπεπληρώσϑω ὁ βακγ κύκλος, καὶ διήχϑω ἡ τυχοῦσα ἡ βκ, καὶ ἀπὸ τοῦ η ἐπ᾽ αὐτὴν κάθετος ἡ ηϑ· ὅτι ἴση ἐστὶν ἡ βε τῇ ϑκ. Εἰλήφϑω τὸ κέντρον τοῦ αβγ κύκλου τὸ λ, καὶ ἀπὸ τοῦ λ ἐπὶ τὴν εζ κάθετος ἤχϑω ἡ λμ· ἴση ἄρα ἐστὶν ἡ βμ τῇ μκ. ἐπεὶ δὲ ἴση ἐστὶν ἡ μὲν αλ τῇ λγ, ἡ δὲ αδ τῇ ηγ, λοιπὴ ἄρα ἡ δλ λοιπῇ τῇ λη ἐστὶν ἴση. καί εἰσι τρεῖς παράλληλοι αἱ δε, λμ, ηϑ, ἴση ἄρα ἐστὶ καὶ ἡ εμ τῇ μϑ· ἔστι δὲ καὶ ὅλη ἡ βμ ὅλῃ τῇ μκ ἴση, λοιπὴ ἄρα ἡ βε λοιπῇ τῇ ϑκ ἐστὶν ἴση. φανερὸν δὲ ὅτι καὶ ἡ ϑβ τῇ εκ ἴση ἐστὶν.*

[1]) So emendirt *Commandin*; die Hdsch. haben *ἐφάπτεται.*

Hosted by Google

Zur neunten Aufgabe. Hat man die Halbkreise $\alpha\beta\gamma$, $\delta\varepsilon\zeta$, und ist $\alpha\delta = \zeta\eta$; zieht man ferner $\beta\gamma$ und fällt darauf von $\eta$ die Senkrechte $\eta\vartheta$, so ist $\beta\varepsilon = \varkappa\vartheta$. [*Command LXXX.*]




Ist $\lambda$ der Mittelpunkt des Halbkreises $\delta\varepsilon\zeta$ und fällt man auf $\varkappa\varepsilon$ die Senkrechte $\lambda\mu$, so ist $\varepsilon\mu = \mu\varkappa$. Da nun $\alpha\delta = \zeta\eta$, $\delta\lambda = \lambda\zeta$, so ist $\alpha\lambda = \lambda\eta$. Es sind aber die drei Linien $\alpha\beta$, $\lambda\mu$, $\vartheta\eta$ parallel, folglich $\beta\mu = \mu\vartheta$, mithin, da $\varepsilon\mu = \mu\varkappa$, $\beta\varepsilon = \varkappa\vartheta$. Offenbar ist auch $\beta\varkappa = \varepsilon\vartheta$.

Bleibt dieselbe Voraussetzung, und berührt $\beta\gamma$ den Halbkreis $\delta\varepsilon\zeta$, so ist wiederum $\beta\varepsilon = \varepsilon\vartheta$. [*Command. LXXXI.*]




Es sei wiederum $\lambda$ der Mittelpunkt des Halbkreises $\delta\varepsilon\zeta$, und zieht man $\lambda\varepsilon$, so steht dieselbe auf $\beta\gamma$ senkrecht. Es sind demnach die drei Linien $\alpha\beta$, $\varepsilon\lambda$, $\eta\vartheta$ parallel, und da $\alpha\lambda = \lambda\eta$, so ist $\beta\varepsilon = \varepsilon\vartheta$, was zu beweisen war.

Zur achten Aufgabe. Bleiben die beiden Halbkreise $\alpha\beta\gamma$, $\delta\varepsilon\zeta$, und ist $\alpha\delta < \gamma\zeta$, aber $\alpha\delta = \gamma\eta$; wird ferner der Kreis $\beta\alpha\varkappa\gamma$ vervollständigt, zieht man die beliebige Gerade $\beta\varkappa$ und fällt darauf von $\eta$ die Senkrechte $\eta\vartheta$, so ist $\beta\varepsilon = \vartheta\varkappa$. [*Command. LXXXII.*]




Fällt man von $\lambda$, dem Mittelpunkt des Kreises $\alpha\beta\gamma$, die Senkrechte $\lambda\mu$ auf $\varepsilon\zeta$, so ist $\beta\mu = \mu\varkappa$. Da nun $\alpha\lambda = \lambda\gamma$, $\alpha\delta = \eta\gamma$, so ist $\delta\lambda = \lambda\eta$. Es sind aber die drei Linien $\delta\varepsilon$, $\lambda\mu$, $\eta\vartheta$ parallel, mithin $\varepsilon\mu = \mu\vartheta$. Nun ist $\beta\mu = \mu\varkappa$, daher $\beta\varepsilon = \vartheta\varkappa$. Offenbar ist auch $\vartheta\beta = \varepsilon\varkappa$.

Hosted by Google

*Εἰς τὸ ἑπτακαιδέκατον. Τῶν αὐτῶν ὑποκειμένων, ἔστω μείζων ἡ αδ τῆς ζγ, καὶ αὐτῇ ἴση κείσθω ἡ ζη, καὶ διαχθείσης τῆς βγθ ἐπ᾽ αὐτὴν κάθετος ἤχθω ἡ ηθ· ὅτι ἴση ἐστὶν ἡ βε τῇ κθ. Εἰλήφθω τὸ κέντρον τοῦ δεζ ἡμικυκλίου τὸ λ, καὶ ἀπ᾽ αὐτοῦ ἐπὶ τὴν εκ κάθετος ἡ λμ· ἴση ἄρα ἐστὶν ἡ εμ τῇ μκ. ἐπεὶ δὲ ἴση ἐστὶν ἡ μὲν αδ τῇ ζη, ἡ δὲ δλ τῇ λζ, ὅλη ἄρα ἡ αλ ὅλῃ τῇ λη ἐστὶν ἴση. καί εἰσι πάλιν τρεῖς παράλληλοι αἱ βα, μλ, ηθ, ἴση ἄρα ἐστὶ καὶ ἡ βμ τῇ μθ, ὧν ἡ εμ τῇ μκ ἐστὶν ἴση· λοιπὴ ἄρα ἡ βε λοιπῇ τῇ κθ ἐστὶν ἴση. φανερὸν δὲ ὅτι καὶ ἡ βκ τῇ εθ ἐστὶν ἴση. ὅπερ: —*

*Τῶν αὐτῶν ὑποκειμένων, ἐφαπτέσθω ἡ βγ τοῦ δεζ ἡμικυκλίου· ὅτι ἴση ἐστὶν ἡ βε τῇ εθ. Εἰλήφθω πάλιν τὸ κέντρον τοῦ δεζ ἡμικυκλίου τὸ λ, καὶ ἐπεζεύχθω ἡ λε· κάθετος ἄρα ἐστὶν ἐπὶ τὴν βθ, ὥστε τρεῖς εἰσι παράλληλοι αἱ αβ, λε, ηθ, καὶ ἔστιν ἴση ἡ αλ τῇ λη· ἴση ἄρα ἐστὶ καὶ ἡ βε τῇ εθ.*

*Πρόβλημα χρήσιμον εἰς τὴν σύνθεσιν τοῦ ἑπτακαιδεκάτου. Θέσει ἡμικυκλίου ὄντος τοῦ αβγ καὶ δοθέντος τοῦ δ, γράψαι διὰ τοῦ δ ἡμικύκλιον ὡς τὸ δεζ, ἵνα ἐὰν ἐφαπτομένη ἀχθῇ ἡ βγ, ἴση γένηται ἡ αδ τῇ βε. Γεγονέτω· ἔστιν ἄρα ὡς ἡ αδ πρὸς τὴν εγ οὕτως ἡ εβ πρὸς τὴν εγ, καὶ ὡς ἄρα ᾧ ἀπὸ εβ πρὸς τὸ ἀπὸ εγ οὕτω τὸ ἀπὸ αδ πρὸς τὸ ἀπὸ εγ· ἀλλ᾽ ὡς τὸ ἀπὸ βε πρὸς τὸ ἀπὸ εγ οὕτως ἐστὶν, ἐὰν κέντρον τοῦ δεζ ἡμικυκλίου ληφθῇ τὸ η καὶ ἐπιζευχθῇ ἡ ηε, τὸ ἀπὸ αη πρὸς τὸ ἀπὸ ηγ. ἀλλὰ τὸ ἀπὸ εγ ἡ τῶν ἀπὸ εη, ηγ ἐστὶν ὑπεροχὴ· ἔστιν ἄρα ὡς τὸ ἀπὸ αδ πρὸς τὴν τῶν ἀπὸ δη,ηγ ὑπεροχὴν οὕτω τὸ ἀπὸ αη πρὸς τὸ ἀπὸ ηγ. κείσθω τῇ δα ἴση ἡ αθ, καὶ τετμήσθω ἡ δγ δίχα κατὰ τὸ κ σημεῖον.*

Hosted by Google

Zur siebzehnten Aufgabe. Unter derselben Voraussetzung sei $\alpha\delta > \zeta\gamma$, $\alpha\delta = \zeta\eta$, und es werde auf die durchgelegte Linie $\beta\gamma\vartheta$ die Senkrechte $\eta\vartheta$ gefällt, so ist $\beta\varepsilon = \varkappa\vartheta$. [*Command. LXXXIII.*]




Fällt man von $\lambda$, dem Mittelpunkt des Halbkreises $\delta\varepsilon\zeta$, auf $\varepsilon\varkappa$ die Senkrechte $\lambda\mu$, so ist $\varepsilon\mu = \mu\varkappa$. Da nun $\alpha\delta = \zeta\eta$, $\delta\lambda = \lambda\zeta$, so ist $\alpha\lambda = \lambda\eta$. Es sind aber die drei Linien $\beta\alpha$, $\mu\lambda$, $\eta\vartheta$ parallel, folglich $\beta\mu = \mu\vartheta$; hiervon ist $\varepsilon\mu = \mu\varkappa$, mithin $\beta\varepsilon = \varkappa\vartheta$. Offenbar ist auch $\beta\varkappa = \varepsilon\vartheta$, was zu beweisen war.

Bleibt dieselbe Voraussetzung, und berührt $\beta\gamma$ den Halbkreis $\delta\varepsilon\zeta$, so ist $\beta\varepsilon = \varepsilon\vartheta$. [*Command. LXXXIV.*]




Ist wiederum $\lambda$ der Mittelpunkt des Halbkreises $\delta\varepsilon\zeta$ und zieht man $\lambda\varepsilon$, so steht dieselbe auf $\beta\vartheta$ senkrecht, daher sind die drei Linien $\alpha\beta$, $\lambda\varepsilon$, $\eta\vartheta$ parallel, und da $\alpha\lambda = \lambda\eta$, so ist $\beta\varepsilon = \varepsilon\vartheta$.

Eine Aufgabe zur Synthesis der siebzehnten Aufgabe zu gebrauchen. Es sei der Halbkreis $\alpha\beta\gamma$ und der Punkt $\delta$ der Lage nach gegeben, es soll durch $\delta$ ein Halbkreis wie $\delta\varepsilon\zeta$ beschrieben werden, so dass, wenn man die Tangente $\beta\gamma$ zieht, $\alpha\delta = \beta\varepsilon$ wird. [*Command. LXXXV.*]




Es sei geschehen. Es ist nun $\alpha\delta : \varepsilon\gamma = \beta\varepsilon : \varepsilon\gamma$, und Quadrat über $\beta\varepsilon$ : Quadrat über $\varepsilon\gamma$ = Quadrat über $\alpha\delta$ :

Hosted by Google

ἐπεὶ οὖν ἐστιν ὡς τὸ ἀπὸ αη πρὸς τὸ ἀπὸ ηγ οὕτω τὸ ἀπὸ αδ πρὸς τὴν τῶν ἀπὸ δη,ηγ ὑπεροχήν· λοιπὸν [1]) πρὸς λοιπὸν, [λοιπὸν] ἄρα τὸ ὑπὸ δηϑ πρὸς λοιπὸν τὸ ἀπὸ ηδ, τουτέστιν ἡ ϑη πρὸς ηδ, ἐστὶν ὡς εἷς τῶν λόγων, ὡς τὸ ἀπὸ αδ πρὸς τὴν τῶν ἀπὸ δη,ηγ ὑπεροχὴν, τουτέστι τὸ δὶς ὑπὸ δγ,λ πρὸς τὸ δὶς ὑπὸ δγ,ηκ. [2]) κείσϑω οὖν τῷ ἀπὸ αδ τετραγώνῳ ἴσον τὸ δὶς ὑπὸ δγ,λ. δοϑὲν δὲ τὸ ἀπὸ αδ· δοϑὲν ἄρα καὶ τὸ δὶς ὑπὸ δγ,λ, ὥστε καὶ τὸ ἅπαξ. καὶ ἔστι δοϑεῖσα ἡ γδ· δοϑεῖσα ἄρα ἐστὶ καὶ ἡ λ. ἐπεὶ δέ ἐστιν ὡς ἡ ηϑ πρὸς τὴν ηδ οὕτω τὸ ἀπὸ αδ, τουτέστι τὸ δὶς ὑπὸ λ,δγ, πρὸς τὸ δὶς ὑπὸ δγ,ηκ, τουτέστιν ἡ λ πρὸς ηκ· τὸ ἄρα ὑπὸ ϑηκ ἴσον τῷ ὑπὸ λ,ηδ. καί εἰσιν αἱ τρεῖς αἱ ϑδ, δκ, λ δοϑεῖσαι· ἀπῆκται [ἄρα] εἰς διωρισμένης· δεδομένων τριῶν εὐϑειῶν τῶν ϑδ, δκ, λ, τεμεῖν τὴν δκ κατὰ τὸ η καὶ ποιεῖν λόγον τοῦ ὑπὸ ϑηκ πρὸς τὸ ὑπὸ λ,ηδ ἴσου πρὸς ἴσον. τοῦτο δὲ φανερὸν, καὶ ἔστιν ἀδιόριστος. δοϑὲν ἄρα τὸ η καὶ κέντρον τοῦ δεζ ἡμικυκλίου· ϑέσει ἄρα τὸ ἡμικύκλιον. καὶ ἀπὸ δοϑέντος τοῦ γ ἦκται ἐφαπτομένη ἡ βγ· ϑέσει ἄρα ἡ βγ. τὸ δ' αὐτὸ ἁρμόσει τοῦ σημείου κάτω, ὅπερ: —

Συντεϑήσεται δὴ τὸ πρόβλημα οὕτως· ἔστω τὸ μὲν ἡμικύκλιον τὸ αβγ, τὸ δὲ δοϑὲν τὸ δ· καὶ δέον ἔστω ποιεῖν τὸ πρόβλημα. κείσϑω τῷ ἀπὸ αδ τετραγώνῳ ἴσον τὸ δὶς ὑπὸ δγ,λ, καὶ τῇ μὲν δα ἴση κείσϑω ἡ αϑ, ἡ δὲ δγ δίχα τετμήσϑω κατὰ τὸ κ σημεῖον. καὶ τριῶν δοϑεισῶν εὐϑειῶν τῶν ϑδ,

---

[1]) Die Hdsch. haben λοιπὴ.

[2]) So emendirt *Commandin* diese Stelle; die Hdsch. haben τουτέστι πρὸς τὸ δὶς ὑπὸ δγ,λ.

Hosted by Google

Quadrat über $\varepsilon\gamma$; aber Quadrat über $\beta\varepsilon$ : Quadrat über $\varepsilon\gamma$ = Quadrat über $\alpha\eta$ : Quadrat über $\eta\gamma$,

(wenn $\eta$ der Mittelpunkt des Halbkreises $\delta\varepsilon\zeta$ und die Linie $\eta\varepsilon$ gezogen wird), und Quadrat über $\varepsilon\gamma$ = Quadrat über $\eta\gamma$ — Quadrat über $\varepsilon\eta$, mithin Quadrat über $\alpha\delta$ : Quadrat über $\eta\gamma$ — Quadrat über $\delta\eta$ = Quadrat über $\alpha\eta$ : Quadrat über $\eta\gamma$.

Es sei nun $\delta\alpha = \alpha\vartheta$, und $\delta\gamma$ im Punkte $\varkappa$ halbirt. Da

Quadrat über $\alpha\eta$ : Quadrat über $\eta\gamma$ = Quadrat über $\alpha\delta$ : Quadrat über $\eta\gamma$ — Quadrat über $\delta\eta$,

so ist durch Differenz Rechteck $\delta\eta\,.\,\eta\vartheta$ : Quadrat über $\eta\delta$ (d. h. $\vartheta\eta$ : $\eta\delta$), wie eins der Verhältnisse, also wie Quadrat über $\alpha\delta$ : Quadrat über $\eta\gamma$ — Quadrat über $\delta\eta$ = 2 Rechteck $\delta\gamma\,.\,\lambda$ : 2 Rechteck $\delta\gamma\,.\,\eta\varkappa$. Es sei also 2 Rechteck $\delta\gamma\,.\,\lambda$ = Quadrat über $\alpha\delta$. Es ist aber Quadrat über $\alpha\delta$ gegeben, folglich auch 2 Rechteck $\delta\gamma\,.\,\lambda$, daher auch das einfache Rechteck. Nun ist $\gamma\delta$ gegeben, mithin auch $\lambda$. Da aber $\eta\vartheta$ : $\eta\delta$ = Quadrat über $\alpha\delta$ (= 2 Rechteck $\lambda\,.\,\delta\gamma$) : 2 Rechteck $\delta\gamma\,.\,\eta\varkappa$ = $\lambda$ : $\eta\varkappa$, so ist Rechteck $\vartheta\eta\,.\,\eta\varkappa$ = Rechteck $\lambda\,.\,\eta\delta$. Auch sind die drei Linien $\vartheta\delta$, $\delta\varkappa$, $\lambda$ gegeben. Wir kommen somit auf eine Aufgabe des bestimmten Schnittes: Wenn die drei Geraden $\vartheta\delta$, $\delta\varkappa$, $\lambda$ gegeben sind, $\delta\varkappa$ so im Punkte $\eta$ zu theilen, dass das Verhältniss von Rechteck $\vartheta\eta\,.\,\eta\varkappa$ : Rechteck $\lambda\,.\,\eta\delta$ ein Verhältniss der Gleichheit wird. Dies geschieht ohne Schwierigkeit, und es findet keine Determination statt. Es ist also der Punkt $\eta$ gegeben und ist der Mittelpunkt des Halbkreises $\delta\varepsilon\zeta$. Daher ist der Halbkreis der Lage nach gegeben. Von dem gegebenen Punkt $\gamma$ ist die Tangente $\beta\gamma$ gezogen, folglich ist sie der Lage nach gegeben. Eben dasselbe passt, wenn der Punkt unterhalb liegt.

Synthesis. Es sei $\alpha\beta\gamma$ der Halbkreis, und $\delta$ der gegebene Punkt; es soll die Aufgabe gelöst werden. Es sei 2 Rechteck $\delta\gamma\,.\,\lambda$ = Quadrat über $\alpha\delta$, $\alpha\vartheta = \delta\alpha$, und $\delta\gamma$ in $\varkappa$ halbirt. Ferner theile man von den drei gegebenen Graden $\vartheta\delta$, $\delta\varkappa$, $\lambda$ die Gerade $\delta\varkappa$ in $\eta$ so, dass das Verhältniss von Rechteck $\lambda\,.\,\eta\delta$ : Rechteck $\vartheta\eta\,.\,\eta\varkappa$ ein Verhältniss der Gleichheit wird. Alsdann beschreibe man um $\eta$ den Halbkreis $\delta\varepsilon\zeta$, so wird dies der verlangte sein. Zieht man nämlich an den Halbkreis die Tangente $\beta\gamma$, so ist $\alpha\delta = \beta\varepsilon$. Denn da Rechteck $\vartheta\eta\,.\,\eta\varkappa$ = Rechteck $\lambda\,.\,\eta\delta$, so ist $\vartheta\eta$ : $\eta\delta$ = $\lambda$ : $\eta\varkappa$; aber

Hosted by Google

δκ, λ, τετμήσθω ἡ δκ κατὰ τὸ η καὶ ποιείτω λόγον τοῦ ὑπὸ λ,ηδ πρὸς τὸ ὑπὸ θηκ ἴσου πρὸς ἴσον, καὶ περὶ κέντρον τὸ η ἡμικύκλιον γεγράφθω τὸ δεζ· λέγω ὅτι τὸ δεζ ποιεῖ τὸ πρόβλημα. ἤχθω γὰρ ἐφαπτομένη τοῦ ἡμικυκλίου ἡ βγ· ὅτι ἴση ἐστὶν ἡ αδ τῇ βε. ἐπεὶ γὰρ τὸ ὑπὸ θηκ ἴσον ἐστὶ τῷ ὑπὸ λ,ηδ, ἀνάλογόν ἐστιν ὡς ἡ θη πρὸς τὴν ηδ οὕτως ἐστὶν ἡ λ πρὸς τὴν ηκ· ἀλλ᾽ ὡς μὲν ἡ θη πρὸς τὴν ηδ οὕτως ἐστὶ τὸ ὑπὸ θηδ πρὸς τὸ ἀπὸ ηδ, τουτέστιν ἡ τῶν ἀπὸ ηα,αδ ὑπεροχὴ πρὸς τὸ ἀπὸ ηδ· ὡς δὲ ἡ λ πρὸς τὴν ηκ οὕτως ἐστὶ τὸ δὶς ὑπὸ λ,δγ πρὸς τὸ δὶς ὑπὸ δγ,ηκ, τουτέστι τὸ ἀπὸ αδ πρὸς τὴν τῶν ἀπὸ δη,ηγ ὑπεροχήν. καὶ ὡς ἄρα ἡ τῶν ἀπὸ ηα,αδ ὑπεροχὴ πρὸς τὸ ἀπὸ ηδ οὕτως ἐστὶ τὸ ἀπὸ αδ πρὸς τὴν τῶν ἀπὸ δη, ηγ ὑπεροχήν· ἔστιν ἄρα ὡς τὸ ἀπὸ αη πρὸς τὸ ἀπὸ ηγ οὕτω τὸ ἀπὸ αδ πρὸς τὴν τῶν ἀπὸ δη, ηγ ὑπεροχήν, τουτέστι πρὸς τὴν τῶν ἀπὸ γη, ηε ὑπεροχήν, τουτέστι πρὸς τὸ ἀπὸ εγ. καὶ ὡς ἄρα τὸ ἀπὸ αη τετράγωνον πρὸς τὸ ἀπὸ ηγ οὕτω τὸ ἀπὸ αδ πρὸς τὸ ἀπὸ γε, ὡς δὲ τὸ ἀπὸ αη πρὸς τὸ ἀπὸ ηγ οὕτως ἐστὶ τὸ ἀπὸ βε πρὸς τὸ ἀπὸ εγ· ὡς ἄρα τὸ ἀπὸ βε πρὸς τὸ ἀπὸ εγ οὕτω τὸ ἀπὸ αδ πρὸς το ἀπὸ εγ. ἴσον ἄρα ἐστὶ τὸ ἀπὸ αδ τῷ ἀπὸ βε· ὥστε ἴση ἐστὶν ἡ αδ τῇ βε. καὶ φανερὸν ὅτι μείζων ἐστὶν ἡ βε τῆς εγ. ἔχομεν γὰρ ὡς τὴν θη πρὸς τὴν ηδ οὕτω τὸ ἀπὸ αδ πρὸς τὸ ἀπὸ εγ·[1] μείζων δὲ ἡ θη τῆς ηδ, μεῖζον [ἄρα] τὸ ἀπὸ αδ τοῦ ἀπὸ εγ, ὥστε μείζων ἐστὶν ἡ αδ τῆς εγ, πολλῷ ἄρα τῆς ζγ μείζων ἐστίν. τὸ δεζ ἄρα ἡμικύκλιον ποιεῖ τὸ πρόβλημα. λέγω δὲ ὅτι καὶ μόνον. γεγράφθω γάρ τι καὶ ἕτερον δμν, καὶ ἤχθω ἐφαπτομένη ἡ γμξ. εἰ δὴ καὶ τὸ δμν ποιεῖ τὸ πρόβλημα, ἔσται ἴση ἡ αδ τῇ μξ· καὶ εἰλήφθω τὸ κέντρον τοῦ δμν ἡμικυκλίου τὸ ο, καὶ ἐπεζεύχθω ἡ ομ, ἔσται ἀκολούθως τῇ ἀναλύσει τὸ ὑπὸ τῶν θοκ ἴσον τῷ ὑπὸ τῶν λ, δο, ὅπερ ἐστὶν ἄτοπον· ἐν γὰρ τῇ διωρισμένῃ δέδεικται μεῖζον. οὐκ ἄρα τὸ δμν ἡμικύκλιον ποιεῖ τὸ πρόβλημα. ὁμοίως δὴ δείξομεν ὅτι οὐδὲ ἄλλο τι πλὴν τοῦ δεζ· τὸ δζε ἄρα μόνον ποιεῖ τὸ πρόβλημα.[2] ἵνα δὲ καὶ ἐπιγνῶμεν πότερον αὐτῶν μεῖζον

---

[1]) Hier folgen in den Hdsch. die Worte ἀναβαίνει δὲ ἐπισκεπτομένων (eine Hdsch. hat ἐπὶ ἐπισκεπτομένων) die auch *Commandin* als eine überflüssige Glosse ausgelassen hat.

[2]) So emendirt *Commandin* diese Stelle; die Hdsch. haben ἐστὶ μόνον ποιοῦν τὸ.

Hosted by Google

$\vartheta\eta : \eta\delta$ = Rechteck $\vartheta\eta \,.\, \eta\delta$ : Quadrat über $\eta\delta$
= Quadrat über $\eta\alpha$ — Quadrat über $\alpha\delta$ : Quadrat über $\eta\delta$,
und $\lambda : \eta\varkappa$ = 2 Rechteck $\lambda \,.\, \delta\gamma$ : 2 Rechteck $\delta\gamma \,.\, \eta\varkappa$
= Quadrat über $\alpha\delta$ : Quadrat über $\eta\gamma$ — Quadrat über $\delta\eta$;
mithin Quadrat über $\eta\alpha$ — Quadrat über $\alpha\delta$ : Quadrat über $\eta\delta$
= Quadrat über $\alpha\delta$ : Quadrat über $\eta\gamma$ — Quadrat über $\delta\eta$,
demnach Quadrat über $\alpha\eta$ : Quadrat über $\eta\gamma$ = Quadrat über $\alpha\delta$ :
Quadrat über $\eta\gamma$ — Quadrat über $\delta\eta$,
aber Quadrat über $\eta\gamma$ — Quadrat über $\delta\eta$ = Quadrat über $\eta\gamma$
— Quadrat über $\eta\varepsilon$ = Quadrat über $\varepsilon\gamma$,
folglich Quadrat über $\alpha\eta$ : Quadrat über $\eta\gamma$ = Quadrat über $\alpha\delta$
: Quadrat über $\varepsilon\gamma$.
Nun ist Quadrat über $\alpha\eta$ : Quadrat über $\eta\gamma$ = Quadrat über $\beta\varepsilon$
: Quadrat über $\varepsilon\gamma$,
demnach Quadr. über $\beta\varepsilon$ : Quadrat über $\varepsilon\gamma$ = Quadrat über $\alpha\delta$
: Quadrat über $\varepsilon\gamma$,
mithin Quadrat über $\alpha\delta$ = Quadrat über $\beta\varepsilon$, und $\alpha\delta = \beta\varepsilon$.
Offenbar ist aber $\beta\varepsilon > \varepsilon\gamma$, denn wir haben
$\vartheta\eta : \eta\delta$ = Quadrat über $\alpha\delta$ : Quadrat über $\varepsilon\gamma$,
aber $\vartheta\eta > \eta\delta$, mithin Quadrat über $\alpha\delta >$ Quadrat über $\varepsilon\gamma$
und $\alpha\delta > \varepsilon\gamma$, daher $\alpha\delta$ um vieles grösser als $\zeta\gamma$.
Der Halbkreis $\delta\varepsilon\zeta$ löst also die Aufgabe. Ich behaupte nun, dass er allein sie löst. Man beschreibe irgend einen andern $\delta\mu\nu$ und ziehe die Tangente $\gamma\mu\xi$. Wenn nun $\delta\mu\nu$ die Aufgabe löst, so wird $\alpha\delta = \mu\xi$ sein.




Ist $o$ der Mittelpunkt des Halbkreises $\delta\mu\nu$ und zieht man $o\mu$, so ist der Analysis zufolge Rechteck $\vartheta o \,.\, o\varkappa$ = Rechteck $\lambda \;\delta o$, was ungereimt ist, denn in der Lehre vom bestimmten Schnitt ist gezeigt, dass es grösser ist. Folglich löst der Halbkreis $\delta\mu\nu$ die



Hosted by Google

ἀποτέμνει, δείξομεν οὕτως. ἐπεὶ ἐν τῇ διωρισμένῃ δέδεικται ἔλασσον τὸ ὑπὸ τῶν λ,δο τοῦ ὑπὸ τῶν θοκ, ἀνάλογος ἡ λ πρὸς οκ ἐλάσσονα λόγον ἔχει ἥπερ ἡ θο πρὸς οδ· ἀλλ᾽ ὡς μὲν ἡ λ πρὸς κο οὕτως ἐστὶ τὸ ἀπὸ αδ πρὸς τὴν τῶν ἀπὸ δο, ογ ὑπεροχήν, δέδεικται γὰρ, ὡς δὲ ἡ θο πρὸς οδ οὕτως ἐστὶν ἡ τῶν ἀπὸ οα, αδ πρὸς τὸ ἀπὸ οδ, καὶ τὸ ἀπὸ αδ ἄρα πρὸς τὴν τῶν ἀπὸ δο, ογ ὑπεροχὴν ἐλάσσονα λόγον ἔχει ἥπερ ἡ τῶν ἀπὸ οα,αδ ὑπεροχὴ πρὸς τὸ ἀπὸ οδ· καὶ πάντα πρὸς πάντα, ὡς τὸ ἀπὸ αδ πρὸς τὴν τῶν ἀπὸ γο, οδ ὑπεροχὴν, τουτέστι πρὸς τὸ ἀπὸ γμ, ἐλάσσονα λόγον ἔχει ἥπερ τὸ ἀπὸ αο πρὸς τὸ ἀπὸ ογ, τουτέστι τὸ ἀπὸ ξμ πρὸς τὸ ἀπὸ μγ· μείζων ἄρα ἐστὶν ἡ ξμ τῆς αδ. ὁμοίως δὴ δείξομεν ὅτι καὶ πᾶσαι αἱ μεταξὺ τῶν α, β σημείων γινόμεναι εὐθεῖαι μείζονές εἰσι τῆς αδ, αἱ δὲ μεταξὺ τῶν β, γ ἐλάσσονες. ἐὰν γὰρ πάλιν γράψωμεν ἡμικύκλιον τὸ δπρ, καὶ ἐφαπτομένη ἀχθῇ ἡ σπγ, καὶ τὰ αὐτὰ τοῖς πρότερον κατασκευασθῇ, τὸ μὲν κέντρον ἔσται τοῦ δπρ ἡμικυκλίου τὸ τ ἐπὶ τὰ ἕτερα μέρη τοῦ η· ἐν δὲ τῇ διωρισμένῃ μεῖζον ἔσται τὸ ὑπὸ θηκ τοῦ ὑπὸ θτκ, κατὰ τὰ αὐτὰ μείζων ἔσται πάλιν ἡ αδ τῆς σπ, ὥστε τὰ μὲν ἔγγιστα τοῦ α, τὰς ἐφαπτομένας ἔχοντα, μείζονα ποιεῖ τῆς αδ, τὰ δὲ ἀπώτερον ἐλάσσω. δυνατὸν ἄρα ἐστὶ γράψαι διὰ τοῦ δ ἡμικύκλια, ἵνα ἡ ἐφαπτομένη ἑκάστου αὐτῶν προσεκβαλλομένη ἐπὶ τὴν τοῦ μείζονος ἡμικυκλίου τὴν μεταξὺ τῆς ἀφῆς καὶ τῆς τοῦ μείζονος ἡμικυκλίου ἴσην ποιεῖ τῇ αδ, καὶ πάλιν μείζω καὶ ἐλάσσω.

Εἰς τὸ ιθ. Ἔστω πάλιν τὰ ἡμικύκλια, μείζων δὲ ἡ αδ τῆς γζ, καὶ τῇ αδ ἴση κείσθω ἡ γη, καὶ διαχθείσης τῆς βεζ, ἀπὸ τοῦ η ἐπ᾽ αὐτὴν κάθετος ἤχθω ἡ ηθ, καὶ προσαναπεπληρώσθω τὸ αβγ ἡμικύκλιον, καὶ ἐκβεβλήσθω ἡ βζ ἐπὶ τὸ

Aufgabe nicht. Auf gleiche Weise wird gezeigt, dass auch kein anderer Halbkreis ausser $\delta\varepsilon\zeta$ die Aufgabe löst; demnach löst der Halbkreis $\delta\varepsilon\zeta$ die Aufgabe allein. Welcher von beiden Halbkreisen ein grösseres Stück abschneidet, wird auf folgende Weise dargethan. In der Lehre von dem bestimmten Schnitt ist gezeigt, dass Rechteck $\lambda \,.\, \delta o <$ Rechteck $\vartheta o \,.\, o\varkappa$, mithin $\lambda : o\varkappa < \vartheta o : o\delta$; aber es ist, wie bewiesen, $\lambda : \varkappa o =$ Quadrat über $\alpha\delta$ : Quadrat über $o\gamma$ — Quadrat über $o\delta$, und $\vartheta o : o\delta =$ Quadrat über $o\alpha$ — Quadrat über $\alpha\delta$ : Quadrat über $o\delta$,

mithin Quadrat über $\alpha\delta$ : Quadrat über $o\gamma$ — Quadrat über $o\delta$
$<$ Quadrat über $o\alpha$ – Quadrat über $\alpha\delta$ : Quadrat über $o\delta$,

folglich durch Zusammenfassen

Quadrat über $\alpha\delta$ : Quadrat über $o\gamma$ — Quadrat über $o\delta$
(d. h. Quadrat über $\gamma\mu$)
$<$ Quadrat über $o\alpha$ : Quadrat über $o\gamma$
d. h. $<$ Quadrat über $\xi\mu$ : Quadrat über $\mu\gamma$,

es ist demnach $\xi\mu > \alpha\delta$. Auf gleiche Weise lässt sich nun zeigen, dass auch alle zwischen den Punkten $\alpha$, $\beta$ fallenden Linien grösser, dagegen alle zwischen $\beta$, $\gamma$ liegenden kleiner sind als $\alpha\delta$. Denn beschreiben wir wiederum den Halbkreis $\delta\pi\varrho$, ziehen die Tangente $\sigma\pi\gamma$ und machen dieselbe Construction wie früher, so wird $\tau$, der Mittelpunkt des Halbkreises $\delta\pi\varrho$, auf der andern Seite des Punktes $\eta$ liegen. Nach der Lehre vom bestimmten Schnitt ist Rechteck $\vartheta\eta \,.\, \eta\varkappa >$ Rechteck $\vartheta\tau \,.\, \tau\varkappa$, und demnach $\alpha\delta > \sigma\pi$; daher schneiden die Halbkreise, deren Tangenten dem Punkte $\alpha$ am nächsten liegen, grössere Stücke, die entfernter liegenden kleinere Stücke, als $\alpha\delta$ ab. Es ist also möglich, durch den Punkt $\delta$ Halbkreise zu beschreiben, so dass wenn man die Tangente eines jeden derselben bis zur Peripherie des grössern Halbkreises verlängert, die zwischen dem Berührungspunkt und der Peripherie des grösseren Halbkreises liegende Gerade gleich, grösser oder kleiner als $\alpha\delta$ wird.

Zur neunzehnten Aufgabe. Bleiben [*Command. LXXXVI.*] wiederum die Halbkreise, ist $\alpha\delta > \gamma\zeta$, $\alpha\delta = \gamma\eta$, wird auf die durchgelegte Linie von $\eta$ die Senkrechte $\eta\vartheta$ gefällt, der Halbkreis $\alpha\beta\gamma$ vervollständigt, und $\beta\zeta$ bis $\varkappa$ verlängert, so ist $\beta\vartheta = \varepsilon\varkappa$.



Hosted by Google

κ· ὅτι ἴση ἐστὶν ἡ βϑ τῇ εκ. Εἰλήφϑω τὸ κέντρον τοῦ αβγ κύκλου τὸ λ καὶ ἀπὸ τοῦ λ ἐπὶ τὴν βκ κάθετος ἤχϑω ἡ λμ· ἴση ἄρα ἐστὶν ἡ μβ τῇ μκ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν αλ τῇ λγ, ἡ δὲ αδ τῇ ηγ, λοιπὴ ἄρα ἡ δλ λοιπῇ τῇ λη ἐστὶν ἴση· καί εἰσι τρεῖς παράλληλοι αἱ δε, λμ, ηϑ, ἴση ἄρα καὶ ἡ εμ τῇ μϑ. ἔστι δὲ καὶ ὅλη ἡ βμ ὅλῃ τῇ μκ ἴση, λοιπὴ ἄρα ἡ βε λοιπῇ τῇ ϑκ ἐστὶν ἴση. φανερὸν οὖν ὅτι καὶ ἡ βϑ τῇ εκ [ἴση ἐστὶν]. ὅπερ: —

Πρόβλημα εἰς τὸ αὐτό. Ἡμικυκλίου ὄντος τοῦ αβγ, καὶ σημείου τοῦ δ, γράψαι ἐπὶ τῆς αγ διὰ τοῦ δ ἡμικύκλιον, ἵνα ἴση ᾖ ἡ αδ, ἐὰν ἐφαπτομένη ἀχϑῇ ἡ ζβ, τῇ ζβ. Γεγονέτω· ἐπεὶ οὖν ἴση ἐστὶν ἡ αδ τῇ ζβ, ἴσον καὶ τὸ ἀπὸ αδ τῷ ἀπὸ ζβ, τουτέστι τῷ ἀπὸ αζγ. ἐὰν ἄρα τῷ ἀπὸ αδ ἴσον παρὰ τὴν αγ παραβάλωμεν ἐλλεῖπον τετραγώνῳ, ὡς τὸ ὑπὸ αζγ, καὶ ἀγάγω ὀρϑὴν τὴν ζβ, καὶ ἐπὶ τῆς δζ ἡμικύκλιον γράψω τὸ δεζ, ἐφάπτεται ἡ βζ τοῦ ἡμικυκλίου, καὶ ἔσται ἴση τῇ αδ. τοῦτο δὲ γίνεται, ὁπόταν ἡ αδ ἐλάσσων ᾖ ἢ ἡ ἡμίσεια τῆς αγ. εὑρημένου δὴ τούτου, ἐὰν διὰ τοῦ δ ἕτερα ἡμικύκλια γράψω, ὡς τὰ δηϑ, δκλ, καὶ ἐφαπτόμεναι ἀχϑῶσιν αἱ ϑμ, λν, ἔσται ἡ μὲν ϑμ μείζων τῆς αδ, ἡ δὲ λν ἐλάσσων· ἐπεὶ γὰρ ἡ αδ τῆς δγ ἐλάσσων ἐστὶν, ἡ ϑμ ἄρα ἔσται μεταξὺ τῶν δ, γ. ἐπὶ μὲν οὖν τὸ ζ οὐ πεσεῖται, ἐπεὶ συμβήσεται ἴσην γίνεσθαι τὴν ϑγ τῇ ζγ, ὅπερ ἄτοπον· μεταξὺ δὲ τῶν γ, ζ πολλῷ μᾶλλον οὐκ ἐστὶν, ἐπεὶ πάλιν συμβαίνει ἐλάσσονα εἶναι τὴν αδ τῆς ζγ, ὅπερ ἄτοπον, ἔστι γὰρ καὶ μείζων, ὡς ἐν τῷ ἐξ ἀρχῆς ὑπόκειται προβλήματι. ἔσται ἄρα μεταξὺ τῶν ζ, δ τὸ ϑ. μεῖζον δὲ τὸ ὑπὸ αϑγ, τουτέστι τὸ ἀπὸ μϑ, τοῦ ὑπὸ αζγ, τουτέστι τοῦ ἀπὸ ζβ, μεῖζον ἄρα καὶ τοῦ ἀπὸ αδ· ὥστε μείζων ἡ ϑμ τῆς αδ. ἡ δὲ [λν] μεταξὺ τῶν γ, ζ· ἐπειδὴ ἔλασσόν ἐστι τὸ ὑπὸ αλγ τοῦ ἀπὸ αδ, ἐπεὶ καὶ τὸ ὑπὸ αζγ· ἔλλασσον ἄρα καὶ τὸ ἀπὸ λν τοῦ ἀπὸ αδ, ὥστε ἐλάσσων ἐστὶν ἡ λν τῆς αδ. ὁμοίως καὶ πᾶσαι αἱ ἐπὶ τὰ ὡς πρὸς τῷ γ μέρη εὐθεῖαι. καὶ καθόλου προσιόντων μὲν τῶν ἡμικυκ-

Hosted by Google




Wird von $\lambda$, dem Mittelpunkt des Kreises $\alpha\beta\gamma$, auf $\beta\varkappa$ die Senkrechte $\lambda\mu$ gefällt, so ist $\mu\beta = \mu\varkappa$. Da nun $\alpha\lambda = \lambda\gamma$, $\alpha\delta = \eta\gamma$, so ist $\delta\lambda = \lambda\eta$; es sind aber die drei Linien $\delta\varepsilon$, $\lambda\mu$, $\eta\vartheta$ parallel, mithin $\varepsilon\mu = \mu\vartheta$. Nun ist $\beta\mu = \mu\varkappa$, folglich $\beta\varepsilon = \vartheta\varkappa$. Offenbar ist daher $\beta\vartheta = \varepsilon\varkappa$.

Eine Aufgabe zu eben derselben. [*Command. LXXXVII.*] Es sei der Halbkreis $\alpha\beta\gamma$ und der Punkt $\delta$ gegeben, es soll über $\alpha\gamma$ durch den Punkt $\delta$ ein Halbkreis beschrieben werden, so dass, wenn man die Tangente $\zeta\beta$ zieht, $\alpha\delta = \zeta\beta$ ist.




Es sei geschehen. Da also $\alpha\delta = \zeta\beta$, so ist auch Quadrat über $\alpha\delta$ = Quadrat über $\zeta\beta$ = Rechteck $\alpha\zeta . \zeta\gamma$. Wenn wir demnach ein dem Quadrat über $\alpha\delta$ gleiches Rechteck, dem zu seiner Ergänzung ein Quadrat fehlt, an der Linie $\alpha\gamma$ anlegen, wie Rechteck $\alpha\zeta . \zeta\gamma$, die Senkrechte $\zeta\beta$ ziehen, und über $\delta\zeta$ den Halbkreis $\delta\varepsilon\zeta$ beschreiben, so berührt $\beta\zeta$ den Halbkreis und ist $= \alpha\delta$. Dies findet aber statt, wenn $\alpha\delta$ kleiner als die Hälfte von $\alpha\gamma$ ist. Ist nun der Halbkreis gefunden, und beschreiben wir durch $\delta$ andere Halbkreise wie $\delta\eta\vartheta$, $\delta\varkappa\lambda$ und ziehen die Tangenten $\vartheta\mu$, $\lambda\nu$, so ist $\vartheta\mu > \alpha\delta$, $\lambda\nu < \alpha\delta$. Da nämlich $\alpha\delta < \delta\gamma$, so liegt $\vartheta\mu$ zwischen $\delta$, $\gamma$; in $\zeta$ fällt es nicht, denn sonst würde $\vartheta\gamma = \zeta\gamma$, was ungereimt ist; noch weniger fällt es zwischen $\gamma$, $\zeta$, denn alsdann würde $\vartheta\gamma < \zeta\gamma$, was ebenfalls widersinnig ist, denn $\vartheta\gamma > \zeta\gamma$, wie ursprünglich in der Aufgabe angenommen ist. Es liegt also der Punkt $\vartheta$ zwischen $\zeta$, $\delta$. Nun ist

Hosted by Google

λίων τῷ γ σημείῳ, οὗ ἐφάπτεται ἐλάσσων ἐστὶ τῆς αδ, αποχωρούντων δὲ, αἰεὶ μείζων. δυνατὸν ἄρα ἐστὶν ἐπὶ μὲν τῆς αγ διὰ τοῦ δ ἡμικύκλια γράψαι, ἵνα ὁτὲ μὲν αἱ ἐφαπτόμεναι αὐτῶν ἴσαι ὦσι τῇ αδ, ὁτὲ δὲ μείζονες, ὁτὲ δὲ ἐλάσσονες.

Εἰς τὸ κα. Ἔστω ἡμικύκλια τὰ αβγ, δεζ, τῇ γδ ἴση κείσθω ἡ αη, καὶ διαχθείσης τῆς ζβ, επ᾽ αὐτὴν κάθετος ἤχθω ἡ ηϑ· ὅτι ἴση ἐστὶν ἡ ϑβ τῇ κε. Εἰλήφθω τὸ κέντρον τοῦ αβγ ἡμικυκλίου τὸ λ, καὶ ἀπὸ τοῦ λ ἐπὶ τὴν βζ κάθετος ἤχθω ἡ λμ· ἴση ἄρα ἐστὶν ἡ βμ τῇ μκ. ἐπεὶ δὲ ἴση ἐστὶν ἡ μὲν ηα τῇ γδ, ἡ δὲ αλ τῇ λγ, ὅλη ἄρα ἡ ηλ ὅλῃ τῇ λδ ἴση ἐστὶν· καί εἰσι τρεῖς παράλληλοι αἱ ηϑ, λμ, δε· ἴση ἄρα ἐστὶ καὶ ἡ ϑμ τῇ με, ὧν ἡ βμ τῇ μκ ἐστὶν ἴση· λοιπὴ ἄρα ἡ ϑβ τῇ κε ἴση ἐστὶν. φανερὸν δὲ ὅτι καὶ ἡ ϑκ τῇ βε ἴση ἐστὶν. ὅπερ: —

Τῶν αὐτῶν ὄντων, ἐφαπτέσθω ἡ βζ κατὰ τὸ β· ὅτι πάλιν ἴση ἐστὶν ἡ ϑβ τῇ βε. Εἰλήφθω γὰρ πάλιν τὸ κέντρον τοῦ αβγ ἡμικυκλίου τὸ κ, καὶ ἀπὸ τοῦ κ ἐπὶ τὸ β ἐπεζεύχθω ἡ κβ, κάθετός ἐστιν ἐπὶ τὴν βζ. ἐπεὶ οὖν ἐν τρισὶ παραλλήλοις ταῖς ηϑ, βκ, δε ἴση ἐστὶν ἡ ηκ τῇ κδ, ἴση ἄρα ἐστὶ καὶ ἡ ϑβ τῇ βε. ὅπερ: —

Hosted by Google

Rechteck $\alpha\vartheta \,.\, \vartheta\gamma$ d. h. Quadrat über $\mu\vartheta >$ Rechteck $\alpha\zeta \,.\, \zeta\gamma$ d. h. Quadrat über $\zeta\beta$, mithin auch grösser als Quadrat über $\alpha\delta$, daher $\vartheta\mu > \alpha\delta$. Die Linie $\lambda\nu$ liegt zwischen $\gamma$, $\zeta$, weil Rechteck $\alpha\lambda \,.\, \lambda\gamma <$ Quadrat über $\alpha\delta$, denn Rechteck $\alpha\lambda \,.\, \lambda\gamma <$ Rechteck $\alpha\zeta \,.\, \zeta\gamma$; mithin Quadrat über $\lambda\nu <$ Quadrat über $\alpha\delta$, daher $\lambda\nu . \alpha\delta$. Auf gleiche Weise verhält es sich mit allen Linien, die nach dem Punkt $\gamma$ zu liegen. Demnach ist allgemein von den Halbkreisen, die sich dem Punkt $\gamma$ nähern, die Tangente kleiner als $\alpha\delta$, dagegen wird die Tangente der sich davon entfernenden Halbkreise immer grösser sein. Es ist also möglich, über $\alpha\gamma$ durch den Punkt $\delta$ Halbkreise zu beschreiben, dass die Tangenten derselben bald gleich, bald grösser, bald kleiner als $\alpha\delta$ sind.

Zur ein und zwanzigsten Aufgabe. [*Command. LXXXVIII.*] Hat man die Halbkreise $\alpha\beta\gamma$, $\delta\varepsilon\zeta$, ist $\gamma\delta = \alpha\eta$, und auf die durchgelegte Linie $\zeta\beta$ die Senkrechte $\eta\vartheta$ gefällt, so ist $\vartheta\beta = \varkappa\varepsilon$.




Man fälle von $\lambda$. dem Mittelpunkt des Halbkreises $\alpha\beta\gamma$, die Senkrechte $\lambda\mu$ auf $\beta\zeta$, so ist $\beta\mu = \mu\varkappa$. Da nun $\eta\alpha = \gamma\delta$, $\alpha\lambda = \lambda\gamma$, mithin $\eta\lambda = \lambda\delta$, und da die drei Linien $\eta\vartheta$, $\lambda\mu$, $\delta\varepsilon$ parallel sind, so ist $\vartheta\mu = \mu\varepsilon$; hiervon $\beta\mu = \mu\varkappa$ subtrahirt, ist $\vartheta\beta = \varkappa\varepsilon$. Offenbar ist auch $\vartheta\varkappa = \beta\varepsilon$, was zu beweisen war.

Bleibt dieselbe Voraussetzung, und [*Command. LXXXIX.*] ist $\beta\zeta$ eine Tangente im Punkte $\beta$, so ist wiederum $\vartheta\beta = \beta\varepsilon$.




Zieht man von $\alpha$, dem Mittelpunkt d. Halbkr. $\alpha\beta\gamma$, nach $\alpha\beta$ die Linie $\varkappa\beta$, so ist sie auf $\beta\zeta$ senkrecht. Da nun zwischen den drei Parallelen $\eta\vartheta$, $\beta\varkappa$, $\varepsilon\delta$, $\eta\varkappa = \varkappa\delta$ ist, so ist auch $\vartheta\beta = \beta\varepsilon$, was zu beweisen war.

Hosted by Google

*Εἰς τὸ κγ. Ἔστω τὰ ἡμικύκλια τὰ αβγ, δεζ, καὶ τῇ γδ ἴση κείσθω ἡ αη, καὶ διαχθείσης τῆς εθ, ἐπ' αὐτὴν κάθετος ἤχθω ἡ ηθ· ὅτι ἴση ἐστὶν ἡ θβ τῇ κδ. Εἰλήφθω τὸ τοῦ αβγ ἡμικυκλίου κέντρον τὸ λ, καὶ κάθετος ἡ λμ· ἴση ἄρα ἐστὶν ἡ βμ τῇ μκ. ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ηα τῇ γδ, ἡ δὲ αλ τῇ λγ, ὅλη ἄρα ἡ ηλ ὅλῃ τῇ λδ ἐστὶν ἴση· καί εἰσι τρεῖς παράλληλοι αἱ ηθ, λμ, εζ, ἴση ἄρα ἐστὶ καὶ ἡ θμ τῇ μδ, ὧν ἡ βμ τῇ μκ ἴση· λοιπὴ ἄρα ἡ βθ λοιπῇ τῇ κδ ἐστὶν ἴση. κἂν ἐφάπτηται, φανερὸν· ἡ γὰρ ἀπὸ τοῦ κέντρου ἐπιζευχθεῖσα ἐπὶ τὴν ἁφὴν. ὅπερ: —*

*Εἰς τὸ κδ. Ἔστω δύο ἡμικύκλια ὡς τὰ αβγ, δεζ, καὶ ἔστω ἴση ἡ αδ τῇ γδ, καὶ διήχθω ἡ ζβ· ὅτι γίνεται ἴση καὶ ἡ βε τῇ εη. Ἔστι δὲ φανερὸν· ἐὰν γὰρ ἐπιζευχθῇ ἡ δε, γίνεται ὀρθὴ ἡ ὑπὸ δεξ γωνία, διὰ τὸ ἐν ἡμικυκλίῳ εἶναι, καὶ ἔστιν ἀπὸ τοῦ κέντρου ἐν ἡμικυκλίῳ τῷ αβγ ἡ δε· ἴση ἄρα ἐστὶν ἡ βε τῇ εη. ὅπερ: —*

*Εἰς τὸ κε. Τῶν αὐτῶν ὄντων, ἔστω μείζων ἡ αδ τῆς δγ, καὶ τῇ δγ ἴση κείσθω ἡ αη, καὶ κάθετος ἐπὶ τὴν βζ ἡ ηθ· ὅτι ἴση ἐστὶν ἡ βθ τῇ εκ. Ἐπεὶ μείζων ἐστὶν ἡ αδ τῆς δγ, τὸ ἄρα κέντρον τοῦ αβγ ἡμικυκλίου ἐστὶ μεταξὺ τῶν α, δ, ὡς τὸ λ, καὶ πάλιν κάθετος ἡ λμ· ἴση ἄρα ἐστὶν ἡ βμ τῇ μκ. ἐπεὶ δὲ ἴση ἐστὶν ἡ μὲν αη τῇ δγ, ἡ δὲ αλ τῇ λγ,*

Hosted by Google

Zur drei und zwanzigsten Aufgabe. Hat [*Command. XC.*] man die Halbkreise $\alpha\beta\gamma$, $\delta\varepsilon\zeta$, ist $\gamma\delta = \alpha\eta$, und auf die durchgelegte Linie $\varepsilon\vartheta$ die Senkrechte $\eta\vartheta$ gefällt, so ist $\vartheta\beta = \varkappa\delta$.




Fällt man von $\lambda$, dem Mittelpunkt des Halbkreises $\alpha\beta\gamma$, die Senkrechte $\lambda\mu$, so ist $\beta\mu = \mu\varkappa$. Da nun $\eta\alpha = \gamma\delta$, $\alpha\lambda = \lambda\gamma$, mithin $\eta\lambda = \lambda\delta$, und da die drei Linien $\eta\vartheta$, $\lambda\mu$, $\zeta\varepsilon$ parallel sind, so ist $\vartheta\mu = \mu\delta$; hiervon $\beta\mu = \mu\varkappa$ subtrahirt, ist $\beta\vartheta = \varkappa\delta$. Wenn die durchgelegte Linie eine Tangente wird, ist der Satz ohne Schwierigkeit zu beweisen; man zieht alsdann vom Mittelpunkt nach dem Berührungspunkt eine Linie.

Zur vier und zwanzigsten Aufgabe. Hat [*Command XCI.*] man die beiden Halbkreise $\alpha\beta\gamma$, $\delta\varepsilon\zeta$, ist $\alpha\delta = \gamma\delta$ und ist die durchgelegte Linie $\zeta\beta$, so ist $\beta\varepsilon = \varepsilon\eta$.




Dies erhellt leicht, denn zieht man $\delta\varepsilon$, so ist $\angle\ \delta\varepsilon\zeta = \mathrm{R}$ als Winkel im Halbkreis; nun geht $\delta\varepsilon$ vom Mittelpunkt des Halbkreises $\alpha\beta\gamma$, mithin $\beta\varepsilon = \varepsilon\eta$, was zu beweisen war.

Zur fünf und zwanzigsten Aufgabe. [*Command. XCII.*] Bleibt dieselbe Voraussetzung, und ist $\alpha\delta > \delta\gamma$, $\delta\gamma = \alpha\eta$, und steht $\eta\vartheta$ auf $\beta\zeta$ senkrecht, so ist $\beta\vartheta = \varepsilon\varkappa$.




Da $\alpha\delta > \delta\gamma$, so liegt der Mittelpunkt d. Halbkreis. $\alpha\beta\gamma$ zwischen $\alpha$, $\delta$ z. B. in $\lambda$; ist also $\lambda\mu$ eine

Hosted by Google

λοιπὴ ἄρα ἡ ηλ [λοιπῇ] τῇ λδ ἴση ἐστὶν· καί εἰσι τρεῖς παράλληλοι αἱ ηϑ, λμ, δε, ἴση ἄρα καὶ ἡ ϑμ τῇ με· ἦν δὲ καὶ ὅλη ἡ βμ ὅλῃ τῇ μκ ἴση, λοιπὴ ἄρα ἡ βϑ λοιπῇ τῇ εκ ἐστὶν ἴση. ὅπερ: —

Εἰς τὸ $\overline{κς}$. Ἔστω ἡ αδ ἐλάσσων τῆς δγ, καὶ τῇ αδ ἴση κείσθω ἡ γη, καὶ κάϑετος ἡ ηϑ· ὅτι ἴση ἐστὶν ἡ βε τῇ κϑ. Ἐπεὶ γὰρ ἐλάσσων ἐστὶν ἡ αδ τῆς δγ, τοῦ αβγ ἡμικυκλίου τὸ κέντρον ἐστὶ μεταξὺ τῶν δ, η· ἔστω τὸ λ, καὶ ἀπὸ τοῦ λ ἐπὶ τὴν ζβ κάϑετος ἤχϑω ἡ λμ, ἴση ἄρα ἐστὶν ἡ βμ τῇ μκ. ἐπεὶ δὲ ἴση ἐστὶν ἡ αδ τῇ γη, [ἡ δὲ αλ τῇ λγ, λοιπὴ ἄρα ἡ δλ λοιπῇ τῇ λη ἴση ἐστὶ][1]) καὶ τρεῖς παράλληλοι αἱ δε, λμ, ηϑ, ἴση ἄρα ἐστὶ καὶ ἡ εμ τῇ μϑ· ἔστι δὲ καὶ ὅλη ἡ βμ ὅλῃ τῇ μκ ἴση, λοιπὴ ἄρα ἡ βε λοιπῇ τῇ κϑ ἐστὶν ἴση. ὅπερ: —

Εἰς τὸ $\overline{κϑ}$. Ὄντων δύο ἡμικυκλίων τῶν αβγ, δεζ, καὶ μείζονος οὔσης τῆς αδ τῇ δγ, ἐὰν τῇ δγ ἴση τεϑῇ ἡ αη, καὶ διαχϑείσης τῆς ζβ, ἐπ' αὐτὴν κάϑετος ἀχϑῇ ἡ ηϑ· ὅτι ἴση ἐστὶν ἡ ϑβ τῇ κε. Εἰλήφϑω τὸ κέντρον τοῦ αβγ ἡμικυκλίου τὸ λ, καὶ ἀπὸ τοῦ λ ἐπὶ τὴν βζ κάϑετος ἤχϑω ἡ λμ· ἴση ἄρα ἐστὶν ἡ βμ τῇ μκ. ἐπεὶ δὲ ἴση ἐστὶν ἡ μὲν αλ τῇ λγ, ἡ δὲ αη τῇ δγ, λοιπὴ ἄρα ἡ ηλ λοιπῇ τῇ λδ ἐστὶν ἴση· καί εἰσι τρεῖς παράλληλοι αἱ ηϑ, λμ, δε, ἴση ἄρα ἐστὶν ἡ ϑμ τῇ με, ὧν ἡ βμ τῇ μκ ἐστὶν ἴση· λοιπὴ ἄρα ἡ ϑβ λοιπῇ τῇ κε ἐστὶν ἴση. φανερὸν ὡς καὶ ἡ ϑκ τῇ βε ἐστὶν ἴση. ὅπερ: —

Εἰς τὸ $\overline{λα}$. Ἔστω τὰ αβγ, δεζ ἡμικύκλια, καὶ πάλιν ἔστω ἐλάσσων ἡ αδ τῆς δγ, καὶ διήχϑω ἡζεβ, καὶ τῇ αδ ἴση κείσθω ἡ γη, καὶ ἐπὶ τὴν ζβ κάϑετος ἤχϑω ἡ ηϑ· [ὅτι ἡ εβ τῇ κϑ ἴση ἐστὶν]. Φανερὸν γὰρ ὅτι [ἡ ηϑ] οὔτε ἐπὶ τὸ κ πίπτει οὔτε μεταξὺ τῶν ζ, κ. ἐὰν τὸ κέντρον ληφϑῇ τὸ λ, καὶ ἀπὸ τοῦ λ ἐπὶ τὴν βζ κάϑετος ἀχϑῇ ἡ λμ, ἔσται ἴση ἡ βμ τῇ μκ· ἀλλὰ καὶ διὰ τὸ τρεῖς εἶναι παραλλήλους τὰς δε,

---

[1]) Einschaltung von *Commandin*.

Hosted by Google

Senkrechte, so ist $\beta\mu = \mu\varkappa$. Da ferner $\alpha\eta = \delta\gamma$, $\alpha\lambda = \lambda\gamma$, mithin $\eta\lambda = \lambda\delta$, und da die drei Linien $\eta\vartheta$, $\lambda\mu$, $\delta\varepsilon$ parallel sind, so ist $\vartheta\mu = \mu\varepsilon$; es war aber $\beta\mu = \mu\varkappa$, folglich $\beta\vartheta = \varepsilon\varkappa$, was zu beweisen war.

Zur sechs und zwanzigsten Aufgabe. [*Command. XCIII.*] Es sei $\alpha\delta < \delta\gamma$, $\alpha\delta = \gamma\eta$, und $\eta\vartheta$ eine Senkrechte, so ist $\beta\varepsilon = \varkappa\vartheta$.




Da nämlich $\alpha\delta < \delta\gamma$, so liegt der Mittelpunkt des Halbkreises $\alpha\beta\gamma$ zwischen $\delta$, $\eta$; er sei $\lambda$ und von $\lambda$ sei die Senkrechte $\lambda\mu$ auf $\zeta\beta$ gefällt, so ist $\beta\mu = \mu\varkappa$. Da nun $\alpha\delta = \gamma\eta$, $\alpha\lambda = \lambda\gamma$, mithin $\delta\lambda = \lambda\eta$, und da die drei Linien $\delta\varepsilon$, $\lambda\mu$, $\eta\vartheta$ parallel sind, so ist $\varepsilon\mu = \mu\vartheta$; es ist aber $\beta\mu = \mu\varkappa$, folglich $\beta\varepsilon = \varkappa\vartheta$, was zu beweisen war.

Zur neun und zwanzigsten Aufgabe. Hat man die beiden Halbkreise $\alpha\beta\gamma$, $\delta\varepsilon\zeta$, ist $\alpha\delta > \delta\gamma$, $\delta\gamma = \alpha\eta$, und wird auf die durchgelegte Linie $\zeta\beta$ die Senkrechte $\eta\vartheta$ gefällt, so ist $\vartheta\beta = \varkappa\varepsilon$.




Fällt man von $\lambda$, dem Mittelpunkt des Halbkrs. $\alpha\beta\gamma$, auf $\beta\zeta$ die Senkrech. $\lambda\mu$, so ist $\beta\mu = \mu\varkappa$. Da nun $\alpha\lambda = \lambda\gamma$, $\alpha\eta = \delta\gamma$, mithin $\eta\lambda = \lambda\delta$, und da die drei Linien $\eta\vartheta$, $\lambda\mu$, $\delta\varepsilon$ parallel sind, so ist $\vartheta\mu = \mu\varepsilon$; nun ist $\beta\mu = \mu\varkappa$, folglich $\vartheta\beta = \varkappa\varepsilon$. Offenbar ist auch $\vartheta\varkappa = \beta\varepsilon$, was zu beweisen war.

Zur ein und dreissigsten Aufgabe. Hat man die Halbkreise $\alpha\beta\gamma$, $\delta\varepsilon\zeta$, ist $\alpha\delta < \delta\gamma$, wird die Linie $\zeta\varepsilon\beta$ durchgelegt, ist $\alpha\delta = \gamma\eta$, und wird auf $\zeta\beta$ die Senkrechte $\eta\vartheta$ gefällt, so ist $\varepsilon\beta = \varkappa\vartheta$.




Offenbar fällt die Senkrechte $\eta\vartheta$ weder in $\varkappa$ noch zwischen $\zeta$, $\varkappa$. Wird vom Mittelpunkt $\lambda$ auf $\beta\zeta$ die Senkrechte $\lambda\mu$ gefällt, so ist $\beta\mu = \mu\varkappa$;

Hosted by Google

λμ, ηϑ ἴση γίνεται ἡ εμ τῇ μκ, ἴση γὰρ ἡ δλ τῇ λη· εἰ γὰρ καὶ ἡ βμ τῇ με ἴση, ἡ μείζων τῇ ἐλάσσονι, ὅπερ ἀδύνατον. οὐκ ἄρα ἐπὶ τὸ κ πίπτει. πολλῷ δὲ μᾶλλον ὅτι οὐδὲ μεταξὺ τῶν ζ, κ· τῶν ἐκτὸς ἄρα· [ἐπεὶ δὲ ἴση] ἐστὶν ἡ μὲν αλ τῇ λγ, ἡ δὲ αδ τῇ ηγ, λοιπὴ ἄρα ἡ δλ λοιπῇ τῇ λμ ἴση ἐστίν· καί εἰσι τρεῖς παράλληλοι αἱ δε, λμ, ηϑ, ἴση ἄρα ἐστὶ καὶ ἡ εμ τῇ μϑ, ὧν ἡ βμ τῇ μκ ἐστὶν ἴση· λοιπὴ ἄρα ἡ εβ λοιπῇ τῇ κϑ ἐστὶν ἴση. φανερὸν δὲ καὶ ὡς ἡ εκ τῇ βϑ ἐστὶν ἴση. ὅπερ: —

Εἰς τὸ λδ. Ἔστω τὰ αβγ, δεζ ἡμικύκλια, μείζων ἔστω ἡ δγ τῆς γζ, καὶ τῇ αδ ἴση κείσθω ἡ ζη, καὶ προσαναπεπληρώσθω ὁ [δεζκ][1]) κύκλος· διήχθω ἡ βγϑ, καὶ ἀπὸ τοῦ η ἐπὶ τὴν βγ κάθετος ἤχθω· φανερὸν ὅτι ἐκτὸς πίπτει τοῦ κύκλου, παράλληλος γὰρ γίνεται τῇ αβ, ἡ δὲ αβ ὑποπίπτει, καὶ ἡ ηϑ ἄρα ὑποπίπτει. ἔστω ἡ ηϑ· ὅτι ἴση ἐστὶν ἡ βε τῇ ϑκ. Ἐπεὶ μείζων ἐστὶν ἡ δγ τῆς γζ, τὸ τοῦ δεζ ἡμικυκλίου κέντρον μεταξύ ἐστι τῶν γ, δ· ἔστω τὸ λ, καὶ κάθετος ἡ λμ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν αδ τῇ ζη, ἡ δὲ δλ τῇ λζ, ὅλη ἄρα ἡ αλ ὅλῃ τῇ λη ἐστὶν ἴση· καί εἰσι τρεῖς παράλληλοι αἱ αβ, λμ, ηϑ, ἴση ἄρα ἐστὶ καὶ ἡ βμ τῇ μϑ, ὧν ἡ εμ τῇ μκ ἐστὶν ἴση· λοιπὴ ἄρα ἡ βε λοιπῇ τῇ κϑ ἐστὶν ἴση. φανερὸν ὡς καὶ ἡ βκ τῇ εϑ ἐστὶν ἴση. ὅπερ: —

Ἔστω πάλιν τὰ ἡμικύκλια τὰ αβγ, δεζ, καὶ μείζων ἡ δγ τῆς γζ, καὶ τῇ αδ ἴση κείσθω ἡ ζη, καὶ προσαναπεπληρώσθω ὁ δεζκ κύκλος, καὶ διήχθω ἡ εβκ, καὶ ἀπὸ τοῦ η ἐπ' αὐτὴν κάθετος ἤχθω ἡ ηϑ· φανερὸν δὲ ὅτι ἐντὸς πίπτει τοῦ κύκλου, ἐπεὶ καὶ ἡ παράλληλος αὐτῇ ἡ αβ ἐντὸς· δεῖξαι ὅτι ἴση ἐστὶν ἡ εβ τῇ ϑκ. Ἔστω τὸ κέντρον τὸ λ, καὶ πάλιν κάθετος ἡ λμ· ἴση ἄρα ἐστὶν ἡ εμ τῇ μκ. ἐπεὶ δὲ ἐν τρισὶ παραλλήλοις ταῖς αβ, λμ, ηϑ ἴση ἐστὶν ἡ αλ τῇ λη, ἴση ἄρα ἐστὶ καὶ ἡ βμ τῇ μϑ· ἔστι δὲ καὶ ὅλη ἡ εμ ὅλῃ τῇ μκ ἴση, λοιπὴ ἄρα ἡ εβ λοιπῇ τῇ κϑ ἐστὶν ἴση. ὅπερ: —

[1]) Einschaltung von *Commandin*.

Hosted by Google

wegen der drei Parallelen $\delta\varepsilon$, $\lambda\mu$, $\eta\vartheta$ ist aber $\varepsilon\mu = \mu\varkappa$,*) denn $\delta\lambda = \lambda\eta$; es wäre also $\beta\mu = \mu\varepsilon$, die grössere Linie gleich der kleineren, was unmöglich ist. Es fällt also $\eta\vartheta$ nicht in $\varkappa$. Noch weniger wird es zwischen $\zeta$, $\varkappa$ fallen; es fällt also ausserhalb dieser Punkte. Da nun $\alpha\lambda = \lambda\gamma$, $\alpha\delta = \eta\gamma$, mithin $\delta\lambda = \lambda\eta$, und da die drei Linien $\delta\varepsilon$, $\lambda\mu$, $\eta\vartheta$ parallel sind, so ist $\varepsilon\mu = \vartheta\mu$; nun ist $\beta\mu = \mu\varkappa$, folglich $\varepsilon\beta = \varkappa\vartheta$. Offenbar ist auch $\varepsilon\varkappa = \beta\vartheta$, was zu beweisen war.

Zur vier und dreissigsten Aufgabe. Hat [*Command. XCIV.*] man die Halbkreise $\alpha\beta\gamma$, $\delta\varepsilon\zeta$, ist $\delta\gamma > \gamma\zeta$, $\alpha\delta = \zeta\eta$, und wird der Kreis $\delta\varepsilon\zeta\varkappa$ vervollständigt; fällt man nun auf die durchgelegte Linie $\beta\gamma\vartheta$ von $\eta$ die Senkrechte $\eta\vartheta$ (sie fällt offenbar ausserhalb des Kreises, da sie $\alpha\beta$ parallel ist, $\alpha\beta$ aber fällt ausserhalb des Kreises, also auch $\eta\vartheta$), so ist $\beta\varepsilon = \vartheta\varkappa$.




Da $\delta\gamma > \gamma\zeta$, so liegt $\lambda$, der Mittelpunkt des Halbkreises $\delta\varepsilon\zeta$, zwischen $\gamma$, $\delta$. Man fälle die Senkrechte $\lambda\mu$. Da nun $\alpha\delta = \zeta\eta$, $\delta\lambda = \lambda\zeta$, mithin $\alpha\lambda = \lambda\eta$, und da die drei Linien $\alpha\beta$, $\lambda\mu$, $\eta\vartheta$ parallel sind, so ist $\beta\mu = \mu\vartheta$; aber $\varepsilon\mu = \mu\varkappa$, folglich $\beta\varepsilon = \varkappa\vartheta$. Offenbar ist auch $\beta\varkappa = \varepsilon\vartheta$, was zu beweisen war.

Hat man wiederum die Halbkreise $\alpha\beta\gamma$, [*Command. XCV.*] $\delta\varepsilon\zeta$, ist $\delta\gamma > \gamma\zeta$, $\alpha\delta = \zeta\eta$, wird der Kreis $\delta\varepsilon\zeta\varkappa$ vervollständigt, und von $\eta$ auf die durchgelegte Linie $\varepsilon\varkappa$ die Senkrechte $\eta\vartheta$ gefällt (sie fällt offenbar innerhalb des Kreises, da die zu ihr parallele $\alpha\beta$ auch innerhalb des Kreises fällt), so ist $\varepsilon\beta = \vartheta\varkappa$.




Es sei $\lambda$ der Mittelpunkt und $\lambda\mu$ eine Senkrechte, so ist $\varepsilon\mu = \mu\varkappa$. Da nun zwischen den drei Parallelen $\alpha\beta$, $\lambda\mu$, $\eta\vartheta$, $\alpha\lambda = \lambda\eta$, so ist auch

*) d. h. unter der Annahme, dass $\vartheta$ mit $\varkappa$ zusammenfällt.

Hosted by Google

*Τὸ πρῶτον τῶν νεύσεων ἔχει προβλήματα ἐννέα, διορισμοὺς τρεῖς, καί εἰσιν οἱ τρεῖς ἐλάσσονες ὄντες κατὰ τὸ πέμπτον, καὶ ὁ κατὰ τὸ $\overline{\zeta}$ πρόβλημα, καὶ ὁ κατὰ τὸ $\overline{\vartheta}$. τὸ δεύτερον νεύσεων ἔχει προβλήματα $\overline{\mu\varepsilon}$, διορισμοὺς τρεῖς, τόν τε κατὰ τὸ $\overline{\iota\zeta}$ πρόβλημα, καὶ τὸν κατὰ τὸ $\overline{\iota\vartheta}$, καὶ τὸν κατὰ τὸ $\overline{\kappa\gamma}$· καί εἰσιν οἱ τρεῖς ἐλάσσονες.*

## *Ἐπαφῶν πρῶτον.*

*Εἰς τὸ $\overline{\varepsilon}$ πρόβλημα. Δύο παράλληλοι αἱ αβ, γδ, καὶ κύκλος ἐφαπτέσθω ὁ εζ κατὰ τὰ ε, ζ σημεῖα, καὶ ἐπεζεύχθω ἡ εζ· ὅτι διάμετρός ἐστι τοῦ εζ κύκλου. Εἰλήφθω σημεῖα ἐπὶ τῆς τοῦ κύκλου περιφερείας τὰ η, ϑ, καὶ ἐπεζεύχθωσαν αἱ εη, ηζ, εϑ, ϑζ. ἐπεὶ οὖν ἐφάπτεται μὲν ἡ αε, τέμνει δὲ ἡ εζ, ἴση ἄρα ἐστὶν ἡ ὑπὸ αεζ γωνία τῇ ἐν τῷ ε ἐναλλὰξ τμήματι γωνίᾳ τῇ ὑπὸ εϑζ. διὰ ταῦτα καὶ ἡ ὑπὸ δζε ἴση ἐστὶ τῇ ὑπὸ εηζ ἐναλλὰξ. καὶ ἡ ὑπὸ εϑζ ἄρα γωνία ἴση ἐστὶ τῇ ὑπὸ εηζ γωνίᾳ. καὶ εἰσὶ δυσὶν ὀρθαῖς ἴσαι· ὀρθὴ ἄρα ἐστὶν ἑκατέρα αὐτῶν· ὥστε καὶ ἡμικύκλιά ἐστιν ἑκάτερον εϑζ, εηζ. διάμετρος ἄρα ἐστὶν ἡ εζ τοῦ εζ κύκλου. ὅπερ: —*

*Ἔστω κύκλος ὁ αβδ, καὶ ἐφαπτέσθωσαν αὐτοῦ αἱ βγ, γα, καὶ τετμήσθω ἡ γ γωνία δίχα τῇ γδ εὐθείᾳ· ὅτι ἐπὶ τῆς γδ τὸ κέντρον ἐστὶ τοῦ αβδ. Καὶ ἐπεζεύχθωσαν αἱ δα, αε, δβ, βε. ἐπεὶ οὖν ἐφάπτεται μὲν ἡ αγ, τέμνει δὲ ἡ γδ, τὸ ὑπὸ δγε ἴσον ἐστὶ τῷ ἀπὸ γα· ἴση ἄρα ἐστὶ καὶ ἡ ὑπὸ δαγ γω-*

Hosted by Google

$\beta\mu = \mu\vartheta$; es ist aber $\varepsilon\mu = \mu\varkappa$, folglich $\varepsilon\beta = \varkappa\vartheta$, was zu beweisen war.

Das erste Buch von den Neigungen hat neun Aufgaben, drei Determinationen, und zwar sind diese drei Minima, nämlich zur fünften, zur siebenten und zur neunten Aufgabe. Das zweite Buch von den Neigungen enthält fünf und vierzig Aufgaben, drei Determinationen und zwar zur siebzehnten, zur neunzehnten und zur drei und zwanzigsten Aufgabe; alle drei sind Minima.

## Ueber Berührungen.

### Erstes Buch.

Zur fünften Aufgabe. Hat man die beiden Parallelen $\alpha\beta$, $\gamma\delta$, welche der Kreis $\varepsilon\zeta$ in den Punkten $\varepsilon$, $\zeta$ berührt, und zieht $\varepsilon\zeta$, so ist $\varepsilon\zeta$ der Durchmesser des Kreises $\varepsilon\zeta$. [*Command. XCVI.*]




Man nehme auf der Peripherie des Kreises die Punkte $\eta$, $\vartheta$ an und ziehe $\varepsilon\eta$, $\eta\zeta$, $\varepsilon\vartheta$, $\vartheta\zeta$. Da nun $\alpha\varepsilon$ eine Tangente, $\varepsilon\zeta$ eine Sehne ist, so ist $\angle\,\alpha\varepsilon\zeta$ dem Winkel im entgegengesetzten Kreisabschnitt gleich, also $= \angle\,\varepsilon\vartheta\zeta$. Aus demselben Grunde ist $\angle\,\delta\zeta\varepsilon = \angle\,\varepsilon\eta\zeta$. Mithin ist $\angle\,\varepsilon\vartheta\zeta = \angle\,\varepsilon\eta\zeta$ und da sie zusammen $= 2\,\mathrm{R}$, so ist jeder $= \mathrm{R}$, folglich sind $\varepsilon\vartheta\zeta$, $\varepsilon\eta\zeta$ Halbkreise. Daher ist $\varepsilon\zeta$ ein Durchmesser des Kreises $\varepsilon\zeta$, was zu beweisen war.

Hat man den Kreis $\alpha\beta\delta$, an den $\beta\gamma$, $\gamma\alpha$ Tangenten sind, und wird der Winkel $\gamma$ durch $\gamma\delta$ halbirt, so liegt auf $\gamma\delta$ der Mittelpunkt des Kreises $\alpha\beta\delta$. [*Command. XCVII.*]




Man ziehe die Linien $\delta\alpha, \alpha\varepsilon, \delta\beta, \beta\varepsilon$. Da nun $\alpha\gamma$ eine Tangente, $\gamma\delta$

νία τῇ ὑπὸ αεγ γωνίᾳ. διὰ ταῦτα καὶ ἡ ὑπὸ δβγ γωνία ἴση ἐστὶ τῇ ὑπὸ βεγ γωνίᾳ. ἀλλὰ τῇ ὑπὸ εαγ ἴση ἐστὶν ἡ ὑπὸ εβγ γωνία· καὶ ἡ ὑπὸ δαε ἄρα γωνία ἴση ἐστὶ τῇ ὑπὸ δβε γωνίᾳ, ὥστε ὀρθή ἐστιν ἑκατέρα αὐτῶν. διάμετρος ἄρα ἐστὶν ἡ δε τοῦ αβδ κύκλου· ἐπὶ τῆς γδ ἄρα τὸ κέντρον ἐστὶ τοῦ αβδ κύκλου.

Εἰς τὸ ιβ. Ἔστωσαν δύο κύκλοι ἐφαπτόμενοι ἀλλήλων οἱ αβ, βγ κατὰ τὸ β σημεῖον, καὶ διήχθω ἡ αβγ, ἔστω δὲ ἐπ' αὐτῆς τὸ τοῦ αβ κύκλου κέντρον· ὅτι καὶ τοῦ βγ κύκλου κέντρον ἐστὶν ἐπὶ τῆς αβγ. Ἤχθω γὰρ ἀμφοτέρων τῶν κύκλων ἐφαπτομένη ἡ δβε· ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ αβδ γωνία· καὶ ἡ ἐφεξῆς ἄρα ἡ ὑπὸ δβγ ἐστὶν ὀρθή, καὶ ἐφάπτεται ἡ δε τοῦ βγ κύκλου. τὸ ἄρα κέντρον τοῦ βγ κύκλου ἐστὶν ἐπὶ τῆς γβ, ὁμοίως καὶ τοῦ αβ.

Ἄλλως. Ἔστωσαν πάλιν αἱ αβ, βγ κύκλων διάμετροι· ὅτι οἱ αβ, βγ κύκλοι ἐφάπτονται ἀλλήλων. Ἤχθω πάλιν ἐφαπτομένη ἡ τοῦ αβ κύκλου ἡ δε· ὀρθή ἐστιν ἡ ὑπὸ αβδ γωνία, καὶ ἐφεξῆς ἡ ὑπὸ δβγ γωνία ὀρθή ἐστιν. καὶ ἔστιν ἐν ἑκατέρᾳ [τῶν αβ, βγ] κέντρον τῶν αβ, βγ κύκλων· ἡ δε ἄρα ἐπάπτεται τοῦ βγ κύκλου. ἀλλὰ καὶ τοῦ αβ κατ' αὐτὸ τὸ β. καὶ ὁ αβ ἄρα τοῦ βγ κύκλου ἐφάπτεται κατὰ τὸ β σημεῖον, ἐπὶ τῆς αὐτῆς καταγραφῆς.

Δύο κύκλοι ἐφαπτόμενοι ἀλλήλων οἱ αβ, βγ κατὰ τὸ β σημεῖον, καὶ διήχθω ἡ αγβ, ἔστω δὲ ἐπ' αὐτῆς τὸ κέντρον τοῦ αβ κύκλου· ὅτι καὶ τοῦ βγ τὸ κέντρον ἐστὶν ἐπὶ τῆς βγ. Ἤχθω ἐφαπτομένη τῶν κύκλων ἡ δε. ἐπεὶ οὖν ἐφαπτομένη ἡ δε τοῦ αβ κύκλου, καὶ διὰ τοῦ κέντρου ἡ αβ, ὀρθή ἐστιν ἡ ὑπὸ δβγ γωνία. καὶ ἤκται ἀπὸ τῆς ἁφῆς τῆς β ἡ βγ, ἐπὶ τῆς βγ [1])

---

1) So emendirt *Commandin* diese Stelle; die Hdsch. haben: ἀπὸ τῆς ἁφῆς τῆς β ἐπὶ τὴν βγ. τὸ κέντρον ἄρα.

Hosted by Google

aber den Kreis schneidet, so ist Rechteck $\delta\gamma . \gamma\varepsilon$ = Quadrat über $\gamma\alpha$, mithin ist $\angle \delta\alpha\gamma = \angle \alpha\varepsilon\gamma$. Aus demselben Grunde ist $\angle \delta\beta\gamma = \angle \beta\varepsilon\gamma$. Aber es ist $\angle \varepsilon\alpha\gamma = \angle \varepsilon\beta\gamma$, mithin auch $\angle \delta\alpha\varepsilon = \angle \delta\beta\varepsilon$, folglich ist jeder = R. Daher ist $\delta\varepsilon$ ein Durchmesser des Kreises $\alpha\beta\delta$ und es liegt auf $\gamma\delta$ der Mittelpunkt desselben.

Zur zwölften Aufgabe. Berühren sich [*Command. XCVIII.*] die beiden Kreise $\alpha\beta$, $\beta\gamma$ im Punkte $\beta$, zieht man die Linie $\alpha\beta\gamma$, und ist auf ihr der Mittelpunkt des Kreises $\alpha\beta$, so liegt auch der Mittelpunkt des Kreises $\beta\gamma$ auf derselben Linie $\alpha\beta\gamma$.




Zieht man die beiden Kreisen gemeinschaftliche Tangente $\delta\beta\varepsilon$, so ist $\angle \alpha\beta\delta$ = R, mithin der Nebenwinkel $\delta\beta\gamma$ ebenfalls = R; nun berührt $\delta\varepsilon$ den Kreis $\beta\gamma$, folglich liegt der Mittelpunkt des Kreises $\beta\gamma$ auf $\gamma\beta$, so wie auch der des Kreises $\alpha\beta$.

Umgekehrt Sind $\alpha\beta$, $\beta\gamma$ Durchmesser [*Command. XCIX.*] von Kreisen, so berühren die Kreise $\alpha\beta$, $\beta\gamma$ einander.

Zieht man wiederum die Tangente $\delta\varepsilon$ des Kreises $\alpha\beta$, so ist $\angle \alpha\beta\delta$ = R, mithin auch sein Nebenwinkel $\delta\beta\gamma$ = R. Nun liegt auf jedem der Durchmesser $\alpha\beta$, $\beta\gamma$ der Mittelpunkt der Kreise $\alpha\beta$, $\beta\gamma$, mithin berührt $\delta\varepsilon$ den Kreis $\beta\gamma$. Sie berührt aber auch den Kreis $\alpha\beta$ in demselben Punkte $\beta$, folglich berührt der Kreis $\alpha\beta$ den Kreis $\beta\gamma$ in dem Punkte $\beta$, nach derselben Figur wie zu dem vorhergehenden Satze.




Berühren die beiden Kreise $\alpha\beta$, $\beta\gamma$ einander im Punkte $\beta$, und zieht man die Linie $\alpha\gamma\beta$, auf welcher der Mittelpunkt des Kreises $\alpha\beta$ liegt, so liegt auch der Mittelpunkt des Kreises $\beta\gamma$ auf derselben Linie $\beta\gamma$. [*Command. C.*]

Es sei $\delta\varepsilon$ die Tangente der Kreise. Da nun $\delta\varepsilon$ den Kreis $\alpha\beta$ berührt und $\alpha\beta$ durch den Mittelpunkt geht, so ist $\angle \delta\beta\gamma$ = R. Es ist aber $\beta\gamma$ vom



Hosted by Google

ἄρα τὸ κέντρον ἐστὶ τοῦ βγ κύκλου. φανερὸν δὲ καὶ οὕτως· εἰ γὰρ διαχθῇ ἡ βζη, καὶ ἐπεζεύχθωσαν αἱ γζ, αη, γένοιτο ἂν ἴση ἡ ὑπὸ δβζ γωνία ἑκατέρᾳ τῶν ὑπὸ τῶν βαη, βγζ γωνίᾳ· [ἴση ἄρα ἐστὶ καὶ ἡ γζβ γωνία τῇ αηβ γωνίᾳ][1] καὶ ἔστιν ὀρθὴ ἡ ὑπὸ αηβ γωνία, ὀρθὴ ἄρα ἐστὶ καὶ ἡ ὑπὸ βζγ γωνία· ὥστε ἐπὶ τῆς βγ τὸ κέντρον ἐστὶ τοῦ βγ. καὶ ὁμοίως κἂν τοῦ βγ δοθῇ ἐπὶ τῆς αβ, δείξομεν ὅτι καὶ τοῦ αβ.

Ἀλλὰ δὴ πάλιν ἔστωσαν διάμετροι αἱ αβ, βγ· ὅτι οἱ κύκλοι ἐφάπτονται ἀλλήλων. Ἤχθω τοῦ αβ κύκλου ἐφαπτομένη εὐθεῖα ἡ δβε· ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ αβε γωνία. καὶ ἔστι διάμετρος ἡ βγ· ἡ δὲ ἄρα ἐφαπτομένη τοῦ βγ κύκλου κατὰ τὸ β σημεῖον. εἰ γὰρ ἐκβληθείη ἡ γζ ἐπὶ τὸ δ, γένοιτο ἂν τὸ ὑπὸ γδζ ἴσον τῷ ἀπὸ δβ, διὰ τὸ ὀρθὴν γίνεσθαι τὴν πρὸς τῷ ζ γωνίαν, οὔσης τῆς πρὸς τῷ β ὀρθῆς.[2] ἀλλὰ γὰρ καὶ τοῦ αβ κύκλου ἐφάπτεται κατὰ τὸ β· καὶ ὁ αβ ἄρα κύκλος τοῦ βγ κύκλου ἐφάπτεται κατὰ τὸ β, ἐπὶ τῆς αὐτῆς καταγραφῆς.

Εἰς τὸ $\overline{\text{ις}}$. Ἔστωσαν δύο κύκλοι ἐφαπτόμενοι ἀλλήλων οἱ αβγ, δεβ κατὰ τὸ β σημεῖον, καὶ διὰ τοῦ β διήχθωσαν αἱ γβδ, αβε, καὶ ἐπεζεύχθωσαν αἱ αγ, δε· ὅτι παράλληλοι αἱ αγ, δε. Ἤχθω γὰρ τῶν κύκλων ἐφαπτομένη εὐθεῖα ἡ ζη κατὰ τὸ β σημεῖον. ἐπεὶ οὖν ἐφάπτεται μὲν ἡ βζ, τέμνει δὲ ἡ βα, ἴση ἐστὶν ἡ ὑπὸ αβζ γωνία τῇ ὑπὸ αγβ. διὰ ταῦτα δὴ καὶ ἡ ὑπὸ ηβε γωνία ἴση ἐστὶ τῇ ὑπὸ εδβ γωνίᾳ. ἀλλὰ ἡ ὑπὸ αβζ γωνία ἴση ἐστὶ τῇ ὑπὸ ηβε γωνίᾳ· καὶ ἡ ὑπὸ αγβ ἄρα γωνία ἴση ἐστὶ τῇ ὑπὸ εδβ γωνίᾳ· καὶ εἰσὶν ἐναλλάξ· παράλληλος ἄρα ἐστὶν ἡ αγ τῇ δε. ὅπερ ἔδει: —

---

[1]) Einschaltung von *Commandin*.

[2]) Diese Stelle von εἰ γὰρ ἐκβληθείη — πρὸς τῷ β ὀρθῆς hat *Commandin* als eine eingeschaltete Glosse in seiner Uebersetzung ausgelassen. *Cammerer* hat daraus, offenbar etwas kühn, einen ganzen Beweis nach Art des früheren construirt.

Hosted by Google

Berührungspunkt $\beta$ gezogen, folglich liegt auf $\beta\gamma$ der Mittelpunkt des Kreises $\beta\gamma$.

Der Beweis kann offenbar auch auf folgende Weise geführt werden. Zieht man nämlich die Linie $\beta\zeta\eta$, und $\gamma\zeta$, $\alpha\eta$, so wird $\angle\ \delta\beta\zeta = \angle\ \beta\alpha\eta = \angle\ \beta\gamma\zeta$; mithin $\angle\ \gamma\zeta\beta = \angle\ \alpha\eta\beta$. Nun ist $\angle\ \alpha\eta\beta = \mathrm{R}$, daher auch $\angle\ \beta\zeta\gamma = \mathrm{R}$; folglich liegt auf $\beta\gamma$ der Mittelpunkt des Kreises $\beta\gamma$. Auf gleiche Weise wird der Beweis geführt, dass wenn der Mittelpunkt des Kreises $\beta\gamma$ auf $\alpha\beta$ angenommen wird, auch der Mittelpunkt des Kreises $\alpha\beta$ darauf liegt.

Sind andererseits $\alpha\beta$, $\beta\gamma$ Durchmesser, so [*Command. CI.*] berühren die Kreise einander.

Zieht man die Tangente $\delta\beta\varepsilon$ des Kreises $\alpha\beta$, so ist $\angle\ \alpha\beta\varepsilon = \mathrm{R}$; nun ist $\beta\gamma$ ein Durchmesser, mithin ist $\delta\varepsilon$ die Tangente des Kreises $\beta\gamma$ im Punkte $\beta$. Aber sie berührt auch den Kreis $\alpha\beta$ im Punkte $\beta$; mithin berührt der Kreis $\alpha\beta$ den Kreis $\beta\gamma$ im Punkte $\beta$, nach derselben Figur wie zum vorhergehenden Satze.

Zur sechzehnten Aufgabe. Berühren die [*Command. CII.*] Kreise $\alpha\beta\gamma$, $\delta\varepsilon\beta$ einander im Punkte $\beta$, zieht man durch $\beta$ die Linien $\gamma\beta\delta$, $\alpha\beta\varepsilon$ und ferner $\alpha\gamma$, $\delta\varepsilon$, so ist $\alpha\gamma \parallel \delta\varepsilon$.




Man ziehe die beiden Kreisen gemeinschaftliche Tangente $\zeta\eta$ des Punktes $\beta$. Da nun $\beta\zeta$ eine Tangente, $\beta\alpha$ eine Sehne ist, so ist $\angle\ \alpha\beta\zeta = \angle\ \alpha\gamma\beta$, uud aus demselben Grunde $\angle\ \eta\beta\varepsilon = \angle\ \varepsilon\delta\beta$. Es ist aber $\angle\ \alpha\beta\zeta = \angle\ \eta\beta\varepsilon$, daher $\angle\ \alpha\gamma\beta = \angle\ \varepsilon\delta\beta$; sie sind zugleich Wechselwinkel, mithin $\alpha\gamma \parallel \delta\varepsilon$, was zu beweisen war.



Hosted by Google

*Κύκλος ο αβγ, καὶ ἐπεζεύχθωσαν αἱ αβ, βγ, γα, καὶ ἀπὸ τοῦ α διήχθω τις εὐθεῖα ἡ αε, ὥστε ἴσην εἶναι τὴν αβγ γωνίαν τῇ ὑπὸ εαγ γωνίᾳ· ὅτι ἐφάπτεται ἡ δε τοῦ αβ κύκλου κατὰ τὸ α σημεῖον. Εἰ μὲν οὖν ἡ αγ διὰ τοῦ κέντρου ἐστὶ, φανερὸν ἔσται· γίνεται γὰρ ὀρθὴ ἡ ὑπὸ εαγ γωνία, διὰ τὸ καὶ τὴν β γωνίαν εἶναι ὀρθὴν· τοῦτο δὲ προδέδεικται. εἰ δὲ μὴ, ἔστω τὸ κέντρον τὸ ζ, καὶ ἐπεζεύχθω ἡ αζ, καὶ ἐκβεβλήσθω ἐπὶ τὸ η, καὶ ἐπεζεύχθω ἡ βη. ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ αβη γωνία. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν ὑπὸ εαγ γωνία τῇ ὑπὸ αβγ, ἡ δὲ ὑπὸ ηαγ γωνία ἐν τῷ αὐτῷ τμήματι τῇ ὑπὸ ηβγ· ὅλη ἄρα ἡ ὑπὸ εαη γωνία τῇ ὑπὸ αβη γωνίᾳ ἴση ἐστὶν. ὀρθὴ δὲ ἡ ὑπὸ αβη, ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ εαη· καὶ ἔστιν ἐκ τοῦ κέντρου ἡ αζ. ἐφαπτομένη ἄρα ἡ δε τοῦ αβγ κύκλου. τοῦτο γὰρ προγέγραπται.*

*Τούτου ὄντος ἀνάστροφον τοῦ πρὸ αὐτοῦ. Παραλλήλου οὔσης τῆς αγ τῇ δε, δεῖξαι ὅτι ἐφαπτόμενοι οἱ αβγ, δεβ ἀλλήλων κατὰ τὸ β σημεῖον. Ἤχθω πάλιν τοῦ αβγ κύκλου ἐφαπτομένη εὐθεῖα ἡ ζη· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ αβζ γωνία τῇ γ. ἀλλὰ ἡ ὑπὸ αβζ γωνία ἴση ἐστὶ τῇ ὑπὸ εβη, ἡ δὲ γ τῇ δ ἐναλλὰξ ἴση ἐστὶ, καὶ ἡ ὑπὸ ηβε γωνία τῇ δ. διὰ δὴ τὸ προγεγραμμένον ἐφάπτεται ἡ ζη τοῦ δβε κύκλου· ἀλλὰ καὶ τοῦ αβγ καιὰ τὸ β· καὶ ὁ αβγ ἄρα κύκλος τοῦ βδε κύκλου ἐφάπτεται κατὰ τὸ β σημεῖον.*

*Πρόβλημα εἰς τὸ αὐτό. Θέσει δοθέντος κύκλου τοῦ αβγ, καὶ δοθέντων τῶν δ, ε, ἀπὸ τῶν δ, ε ἐὰν κλασθῇ* [1]) *ἡ δβε καὶ ἐκβληθῇ, ποιεῖν παράλληλον τὴν αγ τῇ δε. Γεγονέτω· καὶ*

[1]) So emendirt *Commandin*; die Hdsch. haben *ἂν δοθῇ*.

Hosted by Google

Werden in dem Kreise $\alpha\beta\gamma$ die Linien [*Command. CIII.*] $\alpha\beta$, $\beta\gamma$, $\gamma\alpha$ und von $\alpha$ die beliebige Gerade $\alpha\varepsilon$ gezogen, so dass $\angle\,\alpha\beta\gamma = \angle\,\varepsilon\alpha\gamma$, so berührt $\delta\varepsilon$ den Kreis im Punkte $\alpha$.




Geht $\alpha\gamma$ durch den Mittelpunkt, so ist der Beweis ohne Schwierigkeit, denn $\angle\,\varepsilon\alpha\gamma = \mathrm{R}$, weil $\angle\,\beta = \mathrm{R}$. Hiermit ist der Satz Früherem zufolge dargethan. Geht aber $\alpha\gamma$ nicht durch den Mittelpunkt, und ist $\zeta$ der Mittelpunkt, so ziehe man $\alpha\zeta$, verlängere sie bis $\eta$, und verbinde $\beta$, $\eta$. Alsdann ist $\angle\,\alpha\beta\eta = \mathrm{R}$. Da nun $\angle\,\varepsilon\alpha\gamma = \angle\,\alpha\beta\gamma$, $\angle\,\eta\alpha\gamma = \angle\,\eta\beta\gamma$ als Winkel in demselben Kreisabschnitt, so ist $\angle\,\varepsilon\alpha\eta = \angle\,\alpha\beta\eta$; aber $\angle\,\alpha\beta\eta = \mathrm{R}$, folglich auch $\angle\,\varepsilon\alpha\eta = \mathrm{R}$. Nun verbindet $\alpha\zeta$ den Mittelpunkt mit $\alpha$, mithin ist $\delta\varepsilon$ Tangente des Kreises $\alpha\beta\gamma$ dem zufolge, was früher bewiesen ist.

Auf Grund dessen kann die Umkehrung [*Command. CIV.*] des früheren Satzes bewiesen werden. Ist $\alpha\gamma \parallel \delta\varepsilon$, so werden die Kreise $\alpha\beta\gamma$, $\delta\varepsilon\beta$ einander im Punkte $\beta$ berühren.




Zieht man wiederum die Tangente $\zeta\eta$ des Kreises $\alpha\beta\gamma$, so ist $\angle\,\alpha\beta\zeta = \angle\,\gamma$, aber $\angle\,\alpha\beta\zeta = \angle\,\varepsilon\beta\eta$, und $\angle\,\gamma = \angle\,\delta$ als Wechselwinkel, mithin $\angle\,\eta\beta\varepsilon = \angle\,\delta$. Dem Vorausgegangenen zufolge berührt alsdann $\zeta\varepsilon$ den Kreis $\delta\beta\varepsilon$; aber $\zeta\varepsilon$ berührt auch den Kreis $\alpha\beta\gamma$ im Punkte $\beta$, folglich berührt der Kreis $\alpha\beta\gamma$ den Kreis $\beta\delta\varepsilon$ im Punkte $\beta$.

Eine Aufgabe zu ebenderselben. Sind [*Command. CV.*] der Kreis $\alpha\beta\gamma$ und die Punkte $\delta$, $\varepsilon$ der Lage nach gegeben, es sollen von $\delta$, $\varepsilon$ aus nach einem Punkt der Peripherie die Linien $\delta\beta$, $\beta\varepsilon$ gezogen und bis $\alpha$, $\gamma$ verlängert werden, so dass $\alpha\gamma \parallel \delta\varepsilon$ wird.

Hosted by Google

ἤχθω ἐφαπτομένη ἡ ζα. ἐπεὶ οὖν παράλληλος ἡ αγ τῇ δε, ἴση ἐστὶν ἡ γ γωνία τῇ ὑπὸ γδε γωνίᾳ· ἀλλὰ ἡ γ ἴση ἐστὶ τῇ ὑπὸ ζαε, ἐφάπτεται γὰρ καὶ τέμνει, καὶ ἡ ὑπὸ ζαε ἄρα γωνία ἴση ἐστὶ τῇ ὑπὸ γδε. ἐν κύκλῳ ἄρα ἐστὶ τὰ α, β, δ, ζ σημεῖα· ἴσον ἄρα ἐστὶ τὸ ὑπὸ αεβ τῷ ὑπὸ ζεδ. δοθὲν δὲ τὸ ὑπὸ αεβ, ἴσον γάρ ἐστι τῷ ἀπὸ τῆς ἐφαπτομένης· δοθὲν ἄρα καὶ τὸ ὑπὸ τῶν δεζ. καὶ δοθεῖσα ἡ δε, δοθεῖσα ἄρα καὶ ἡ εζ. ἀλλὰ καὶ τῇ θέσει. καὶ ἔστι δοθὲν τὸ ε· δοθὲν ἄρα καὶ τὸ ζ. ἀπὸ [δὴ] δεδομένου σημείου τοῦ ζ θέσει δεδομένου κύκλου τοῦ αβγ ἐφαπτομένη εὐθεῖα [1]) ἦκται ἡ ζα· δέδοται ἄρα καὶ ἡ ζα τῇ θέσει καὶ τῷ μεγέθει· καὶ ἔστι δοθὲν τὸ ζ, δοθὲν ἄρα καὶ τὸ α. ἀλλὰ καὶ τὸ ε δοθὲν· θέσει ἄρα ἐστὶν ἡ αε. θέσει δὲ καὶ ὁ κύκλος· δοθὲν ἄρα τὸ β σημεῖον· ἔστι δὲ καὶ ἑκάτερον τῶν δ, ε δοθέν, δοθεῖσα ἄρα ἐστὶν ἑκατέρα τῶν δβ, βε τῇ θέσει. Συντεθήσεται δὴ τὸ πρόβλημα οὕτως. Ἔστω ὁ μὲν κύκλος ὁ αβγ, τὰ δὲ δοθέντα δύο σημεῖα τὰ δ, ε· [καὶ] κείσθω τῷ ἀπὸ τῆς ἐφαπτομένης ἀπὸ τοῦ ε ἴσον τὸ ὑπὸ τῆς δε καὶ ἄλλης τινὸς τῆς εζ, καὶ ἀπὸ τοῦ ζ τοῦ αβγ κύκλου ἐφαπτομένη εὐθεῖα γραμμὴ ἤχθω ἡ ζα, καὶ ἐπεζεύχθω ἡ αε, καὶ ἐπιζευχθεῖσα ἡ δβ ἐκβεβήσθω ἐπὶ τὸ γ, καὶ ἐπεζεύχθω ἡ αγ· λέγω ὅτι παράλληλός ἐστιν ἡ αγ τῇ δε. ἐπεὶ γὰρ τὸ ὑπὸ ζεδ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ἐφαπτομένης, ἀλλὰ καὶ τὸ ὑπὸ αεβ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ἐφαπτομένης, ἴσον ἄρα ἐστὶ τὸ ὑπὸ αεβ τῷ ὑπὸ ζεδ· ἐν κύκλῳ [ἄρα ἐστὶ τὰ α, β, δ, ζ σημεῖα],[2]) ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ζαε γωνία τῇ ὑπὸ βδε γωνίᾳ. ἀλλὰ καὶ ἡ ὑπὸ ζαε γωνία ἴση ἐστὶ τῇ ἐν τῷ ἐναλλὰξ τμήματι τῇ ὑπὸ αγβ, καὶ ἡ ὑπὸ αγβ ἄρα γωνία ἴση ἐστὶ τῇ ὑπὸ βδε γωνίᾳ· καὶ εἰσὶν ἐναλλάξ, παράλληλος ἄρα ἐστὶν ἡ αγ τῇ δε.

Εἰς τὸ ιδ. Ἔστωσαν δύο κύκλοι οἱ αβγ, αεδ ἐφαπτόμενοι ἀλλήλων κατὰ τὸ α σημεῖον, καὶ διήχθωσαν ἀπὸ τοῦ α εὐθεῖαι αἱ αδβ, αεγ, καὶ ἐπεζεύχθωσαν αἱ δε, βγ· ὅτι παρ-

---

[1]) So emendirt *Commandin*; die Hdsch. haben *ἐφάπτεται πρὸς εὐθεῖαν*.

[2]) Einschaltung von *Commandin*.

Hosted by Google




Es sei geschehen. Man ziehe die Tangente $\zeta\alpha$. Da nun $\alpha\gamma \parallel \delta\varepsilon$, so ist $\angle\gamma = \angle\gamma\delta\varepsilon$, aber $\angle\gamma = \angle\zeta\alpha\varepsilon$ als Winkel zwischen Tangente und Sehne, mithin $\angle\zeta\alpha\varepsilon = \angle\gamma\delta\varepsilon$. Daher liegen die Punkte $\alpha$, $\beta$, $\delta$, $\zeta$ auf der Peripherie eines Kreises, und es ist Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\beta =$ Rechteck $\zeta\varepsilon \,.\, \varepsilon\delta$. Nun ist Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\beta$ gegeben, denn es ist dem Quadrat über der Tangente gleich, mithin ist auch Rechteck $\zeta\varepsilon \,.\, \varepsilon\delta$ gegeben. Es ist aber $\delta\varepsilon$ gegeben, folglich auch $\varepsilon\zeta$. Aber sie ist auch der Lage nach gegeben, und da der Punkt $\varepsilon$ gegeben ist, so ist auch $\zeta$ gegeben. Von dem gegebenen Punkt $\zeta$ ist nun an den der Lage nach gegebenen Kreis $\alpha\beta\gamma$ die Tangente $\zeta\alpha$ gezogen; es ist also $\zeta\alpha$ der Lage und der Grösse nach gegeben, und da der Punkt $\zeta$ gegeben ist, so ist auch $\alpha$ gegeben. Aber es ist auch der Punkt $\varepsilon$ gegeben, mithin ist $\alpha\varepsilon$ der Lage nach gegeben. Nun ist der Kreis der Lage nach gegeben, folglich auch der Punkt $\beta$. Es ist aber ein jeder der Punkte $\delta$, $\varepsilon$ gegeben, mithin auch eine jede der Linien $\delta\beta$, $\beta\varepsilon$ der Lage nach.

Synthesis. Es sei der Kreis $\alpha\beta\gamma$ und die beiden Punkte $\delta$, $\varepsilon$ gegeben, und es sei das Quadrat über der Tangente gleich dem Rechteck aus $\delta\varepsilon$ und irgend einer andern Linie $\varepsilon\zeta$. Man ziehe von $\zeta$ an den Kreis $\alpha\beta\gamma$ die Tangente $\zeta\alpha$, ferner $\alpha\varepsilon$ und $\delta\beta$ und verlängere sie bis $\gamma$, und ziehe $\alpha\gamma$, so ist $\alpha\gamma \parallel \delta\varepsilon$. Denn da Rechteck $\zeta\varepsilon \,.\, \varepsilon\delta =$ Quadrat über der Tangente, aber auch Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\beta =$ Quadrat über der Tangente, so ist Rechteck $\alpha\varepsilon \,.\, \varepsilon\beta =$ Rechteck $\zeta\varepsilon \,.\, \varepsilon\delta$. Mithin liegen die Punkte $\alpha$, $\beta$, $\delta$, $\zeta$ auf der Peripherie eines Kreises, folglich $\angle\zeta\alpha\varepsilon = \angle\beta\delta\varepsilon$; aber $\angle\zeta\alpha\varepsilon = \angle\alpha\gamma\beta$ als Winkel im entgegengesetzten Kreisabschnitt, daher $\angle\alpha\gamma\beta = \angle\beta\delta\varepsilon$, und da sie Wechselwinkel sind, so ist $\alpha\gamma \parallel \delta\varepsilon$.

Zur vierzehnten Aufgabe. Berühren sich [*Command. CVI.*] die beiden Kreise $\alpha\beta\gamma$, $\alpha\varepsilon\delta$ im Punkte $\alpha$, und zieht man von $\alpha$ die Linien $\alpha\delta\beta$, $\alpha\varepsilon\gamma$, und verbindet $\delta\varepsilon$, $\beta\gamma$, so ist $\delta\varepsilon \parallel \beta\gamma$.

Hosted by Google

ἀλληλοί εἰσιν αἱ δε, βγ. Ἤχθω ἀπὸ τοῦ α ἐφαπτομένη εὐθεῖα ἡ ζη· ἴση ἄρα ἐστὶν ἡ ἀπὸ ζαβ ἑκατέρᾳ τῶν ὑπὸ αγβ, αεδ, ὥστε καὶ ἡ ὑπὸ αγβ γωνία ἴση ἐστὶ τῇ ὑπὸ αεδ. παράλληλος ἄρα ἐστὶν ἡ δε τῇ βγ. [ἀλλὰ παράλληλος ἔστω ἡ δε τῇ βγ][1], ὅτι ἐφάπτονται οἱ αβγ, αδε κύκλοι ἀλλήλων. ἤχθω γὰρ τοῦ αβγ κύκλου ἐφαπτομένη ἡ ζη· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ζαδ γωνία τῇ γ γωνίᾳ. ἀλλὰ ἡ γ γωνία ἴση ἐστὶ τῇ ε, καὶ ἡ ὑπὸ ζαδ ἄρα γωνία ἴση ἐστὶ τῇ ε γωνίᾳ, ὥστε ἐφαπτομένη ἡ ζη τοῦ αδε κύκλου· τοῦτο γὰρ προδέδεικται.

*Πρόβλημα εἰς τὸ αὐτό.* Θέσει δοθέντος[2]) κύκλου τοῦ αβγ, καὶ δύο δοθέντων τῶν δ, ε, κλᾶν τὴν δαε καὶ ποιεῖν παράλληλον τὴν βγ τῇ δε. Γεγονέτω· καὶ ἀπὸ τοῦ β ἐφαπτομένη ἤχθω ἡ βζ. ἐπεὶ οὖν ἐφάπτεται μὲν βζ, τέμνει δὲ ἡ βγ, ἴση ἐστὶ ἡ ὑπὸ ζβγ γωνία, τουτέστιν ἡ ὑπὸ δζβ, τῇ α. ἐν κύκλῳ ἄρα ἐστὶ τὰ α, β, ε, ζ σημεῖα· ἴσον ἄρα ἐστὶ τὸ ὑπὸ αδβ τῷ ὑπὸ εδζ. δοθὲν δὲ τὸ ὑπὸ αδβ, ἴσον γὰρ τῷ ἀπὸ τῆς βζ δοθείσης· δοθὲν ἄρα καὶ τὸ ὑπὸ εδζ· καὶ ἔστι δοθεῖσα ἡ δε, δοθεῖσα ἄρα καὶ ἡ δζ. ἀλλὰ καὶ τῇ θέσει· καὶ ἔστι δοθὲν τὸ δ, δοθὲν ἄρα καὶ τὸ ζ. ἀπὸ δὴ δοθέντος σημείου τοῦ ζ, τῇ θέσει δὲ δοθέντος κύκλου ἐφαπτομένη ἦκται ἡ ζβ· δέδοται ἄρα ἡ ζβ τῇ θέσει. ἀλλὰ καὶ ὁ αβγ κύκλος θέσει· δοθὲν ἄρα ἐστὶ τὸ β σημεῖον· ἔστι δὲ καὶ τὸ δ δοθέν, θέσει ἄρα ἐστὶν ἡ βδ. θέσει δὲ καὶ ὁ κύκλος· δοθὲν ἄρα ἐστὶ τὸ α. ἔστι δὲ καὶ τὸ ε δοθέν, δοθεῖσα ἄρα ἐστὶν ἑκατέρα τῶν δα, αε τῇ θέσει. Συντεθήσεται δὲ τὸ πρόβλημα οὕτως. Ἔστω ὁ μὲν κύκλος ὁ αβγ, τὰ δὲ δοθέντα σημεῖα τὰ δ, ε, καὶ τῷ ἀπὸ τῆς ἐφαπτομένης ἴσον κείσθω τὸ ὑπὸ εδζ· καὶ ἀπὸ τοῦ ζ τοῦ αβγ κύκλου [ἐφαπτομένη] εὐθεῖα γραμμὴ ἤχθω ἡ ζβ, καὶ ἐπεζεύχθω ἡ δβ, [καὶ] ἐκβεβλήσθω ἐπὶ τὸ α, καὶ ἐπεζεύχθωσαν αἱ αε, βγ· λέγω ὅτι παράλληλός ἐστιν ἡ βγ τῇ δε. ἐπεὶ γὰρ τὸ ὑπὸ εδζ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ἐφαπτομένης, [ἀλλὰ καὶ τὸ ὑπὸ αδβ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ἐφαπτομένης, ἴσον ἄρα ἐστὶ τὸ ὑπὸ αδβ τῷ ὑπὸ εδζ. ἐν κύκλῳ ἄρα ἐστὶ τὰ α, β, ζ, ε σημεῖα][3]), ἴση ἄρα ἐστὶν ἡ α γωνία, τουτέστιν ἡ

[1]) Einschaltung von *Commandin*.

[2]) Die Hdsch. haben ὄντος.

[3]) Einschaltung von *Commandin*.

Hosted by Google




Zieht man durch $\alpha$ die Tangente, $\zeta\eta$, so ist $\angle\,\zeta\alpha\beta = \angle\,\alpha\gamma\beta = \angle\,\alpha\varepsilon\delta$, demnach $\delta\varepsilon \parallel \beta\gamma$.

Wird aber $\delta\varepsilon \parallel \beta\gamma$ vorausgesetzt, so berühren die Kreise $\alpha\beta\gamma$, $\alpha\delta\varepsilon$ einander. Denn zieht man an den Kreis $\alpha\beta\gamma$ die Tangente $\zeta\eta$, so ist $\angle\,\zeta\alpha\delta = \angle\,\gamma$, aber $\angle\,\gamma = \angle\,\varepsilon$, folglich $\angle\,\zeta\alpha\delta = \angle\,\varepsilon$, daher ist $\zeta\varepsilon$ auch eine Tangente des Kreises $\alpha\delta\varepsilon$, wie dies früher bewiesen ist.

Eine Aufgabe zu ebenderselben. Es [*Command.* C *VII.*] sind der Kreis $\alpha\beta\gamma$ und die beiden Punkte $\delta$, $\varepsilon$ der Lage nach gegeben, es sollen von den Punkten $\delta$, $\varepsilon$ bis zu einem Punkt $\alpha$ der Peripherie die Linien $\delta\alpha$, $\alpha\varepsilon$ gezogen werden, so dass $\beta\gamma \parallel \delta\varepsilon$.




Es sei geschehen. Man ziehe von dem Punkt $\beta$ die Tangente $\beta\zeta$ an den Kreis. Da nun $\beta\zeta$ eine Tangente, $\beta\gamma$ eine Sehne ist, so ist $\angle\,\zeta\beta\gamma$ d. h. $\angle\,\delta\zeta\beta = \angle\,\alpha$. Mithin liegen die Punkte $\alpha$, $\beta$, $\varepsilon$, $\zeta$ auf der Peripherie eines Kreises, folglich Rechteck $\alpha\delta\,.\,\delta\beta$ = Rechteck $\varepsilon\delta.\delta\zeta$. Nun ist Rechteck $\alpha\delta\,.\,\delta\beta$ gegeben, denn es ist dem Quadrat über der gegebenen $\beta\zeta$ gleich, daher ist auch Rechteck $\varepsilon\delta\,.\,\delta\zeta$ gegeben. Es ist aber $\delta\varepsilon$ gegeben, folglich auch $\delta\zeta$. Aber sie ist auch der Lage nach gegeben, und da der Punkt $\delta$ gegeben ist, so ist auch $\zeta$ gegeben. Von dem gegebenen Punkt $\zeta$ ist nun an den der Lage nach gegebenen Kreis die Tangente $\zeta\beta$ gelegt. Es ist also $\zeta\beta$ der Lage nach gegeben; aber es ist auch der Kreis $\alpha\beta\gamma$ der Lage nach gegeben, mithin auch der Punkt $\beta$. Nun ist der Punkt $\delta$ gegeben, mithin ist $\beta\delta$ der Lage nach gegeben. Es ist aber der Kreis der Lage nach gegeben, folglich auch der Punkt $\alpha$, und da der Punkt $\varepsilon$ gegeben ist, so ist eine jede der Linien $\delta\alpha$, $\alpha\varepsilon$ der Lage nach gegeben.

Synthesis. Es sei der Kreis $\alpha\beta\gamma$ und die Punkte $\delta$, $\varepsilon$ gegeben und es sei Rechteck $\varepsilon\delta\,.\,\delta\zeta$ dem Quadrat über der Tangente

Hosted by Google

ὑπὸ γβζ, ἐφάπτεται γὰρ ἡ βζ, τέμνει δὲ ἡ βγ, τῇ ὑπὸ βζδ· καὶ εἰσὶν ἐναλλὰξ, [παράλληλος] ἄρα ἐστὶν ἡ βγ τῇ δε.

*Πρόβλημα εἰς τὸ ιη.* Θέσει δοθέντος κύκλου τοῦ αβγ, καὶ δύο δοθέντων σημείων τῶν δ, ε, ἀπὸ τῶν δ, ε κλᾶν τὴν δαε καὶ ποιεῖν τὴν δε παράλληλον τῇ βγ. Γεγονέτω· καὶ ἤχθω ἀπὸ τοῦ β τοῦ αβγ κύκλου ἐφαπτομένη εὐθεῖα γραμμὴ ἡ βζ, ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ζβδ γωνία τῇ γ, τουτέστι τῇ ε· ἐν κύκλῳ ἄρα ἐστὶ τὰ β, ζ, α, ε σημεῖα· τὸ ἄρα ὑπὸ βδα ἴσον ἐστὶ τῷ ὑπὸ ζδε. δοθὲν δὲ τὸ ὑπὸ βδα, ἀπὸ γὰρ δοθέντος τοῦ δ εἰς θέσει δεδομένον κύκλον[1]) διῆκται ἡ αδβ· δοθὲν ἄρα καὶ τὸ ὑπὸ ζδε. καὶ ἔστι δοθεῖσα ἡ δε, δοθεῖσα ἄρα καὶ ἡ ζδ. καὶ ἔστι δοθὲν τὸ δ, [δοθὲν ἄρα καὶ τὸ ζ. ἀπὸ δὴ δεδομένου σημείου τοῦ ζ θέσει δεδομένου][2]) κύκλου ἐφαπτομένη ἦκται ἡ ζβ· θέσει ἄρα ἐστὶν ἡ ζβ. θέσει δὲ καὶ ὁ κύκλος, δοθὲν ἄρα ἐστὶ καὶ τὸ β σημεῖον. ἀλλὰ καὶ τὸ δ δοθέν· θέσει ἄρα ἐστὶν ἡ βδ. θέσει δὲ καὶ ὁ κύκλος, δοθὲν ἄρα ἐστὶ τὸ α σημεῖον. ἔστι δὲ καὶ ἑκάτερον τῶν δ, ε δοθέν· δοθεῖσα ἄρα ἐστὶν ἑκατέρα τῶν δα, αε τῇ θέσει. Συντεθήσεται δὴ τὸ πρόβλημα οὕτως. Ἔστω ὁ μὲν τῇ θέσει δεδομένος κύκλος ὁ αβγ, τὰ δὲ δοθέντα δύο σημεῖα τὰ δ, ε, καὶ διήχθω τυχοῦσα ἡ αδβ, καὶ τῷ ὑπὸ αδβ ἴσον κείσθω τὸ ὑπὸ εδζ, τουτέστι τοῦ αβγ κύκλου ἐφαπτομένη ἤχθω ἡ βζ, καὶ ἐπεζεύχθω ἡ γεα. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ὑπὸ ζβδ γωνία τῇ πρὸς τῷ ε, ἐν κύκλῳ γάρ ἐστι τὰ α, β, ε, ζ σημεῖα· ἀλλὰ καὶ ἡ ὑπὸ ζβδ ἴση ἐστὶ τῇ γ, ἐφάπτεται γὰρ καὶ τέμνει· καὶ ἡ γ ἄρα γωνία ἴση ἐστὶ τῇ ε· παράλληλος ἄρα ἴση ἐστὶν ἡ βγ τῇ δε. ὅπερ ἔδει: —

---

[1]) So emendirt *Cammerer*, die Hdsch. haben *δεδομένην γωνίαν*.

[2]) Einschaltung von *Commandin*.

Hosted by Google

gleich. Von dem Punkt $\zeta$ lege man eine Tangente $\zeta\beta$ an den Kreis $\alpha\beta\gamma$, ziehe $\delta\beta$ und verlängere sie bis $\alpha$, und ziehe $\alpha\varepsilon$, $\beta\gamma$, so ist $\beta\gamma \parallel \delta\varepsilon$. Denn da Rechteck $\varepsilon\delta \cdot \delta\zeta$ gleich dem Quadrat über der Tangente, aber auch Rechteck $\alpha\delta \cdot \delta\beta$ dem Quadrat über der Tangente gleich ist, so ist Rechteck $\alpha\delta \cdot \delta\beta$ = Rechteck $\varepsilon\delta \cdot \delta\zeta$; es liegen also die Punkte $\alpha$, $\beta$, $\zeta$, $\varepsilon$ auf der Peripherie eines Kreises, mithin ist $\angle\ \alpha$ d. h. $\angle\ \gamma\beta\zeta = \angle\ \beta\zeta\delta$, weil $\beta\zeta$ eine Tangente und $\beta\gamma$ eine Sehne ist, und da sie Wechselwinkel sind, so ist $\beta\gamma \parallel \delta\varepsilon$.

Eine Aufgabe zur achtzehnten. Es [*Command. CVIII.*] sind der Kreis $\alpha\beta\gamma$ und die Punkte $\delta$, $\varepsilon$ der Lage nach gegeben; es sollen von $\delta$, $\varepsilon$ nach einem Punkt $\alpha$ der Peripherie die Linien $\delta\alpha$, $\alpha\varepsilon$ gezogen werden, so dass $\delta\varepsilon \parallel \beta\gamma$.




Es sei geschehen. Man lege von $\beta$ aus an den Kreis $\alpha\beta\gamma$ die Tangente $\beta\zeta$, so ist $\angle\ \zeta\beta\delta = \angle\ \gamma = \angle\ \varepsilon$. Mithin liegen die Punkte $\beta$, $\zeta$, $\alpha$, $\varepsilon$ auf der Peripherie eines Kreises, folglich Rechteck $\beta\delta \cdot \delta\alpha$ = Rechteck $\zeta\delta \cdot \delta\varepsilon$. Es ist aber Rechteck $\beta\delta \cdot \delta\alpha$ gegeben, denn von dem gegebenen Punkt $\delta$ ist durch den der Lage nach gegebenen Kreis die Linie $\alpha\delta\beta$ gelegt, mithin ist auch Rechteck $\zeta\delta \cdot \delta\varepsilon$ gegeben. Nun ist $\delta\varepsilon$ gegeben, folglich auch $\zeta\delta$. Da aber der Punkt $\delta$ gegeben ist, so ist es auch $\zeta$. Von diesem gegebenen Punkt $\zeta$ ist nun an den der Lage nach gegebenen Kreis die Tangente $\zeta\beta$ gezogen, mithin ist $\zeta\beta$ der Lage nach gegeben. Es ist aber auch der Kreis der Lage nach gegeben, folglich auch der Punkt $\beta$. Da nun der Punkt $\delta$ gegeben, so ist auch $\beta\delta$ der Lage nach gegeben. Da ferner der Kreis der Lage nach gegeben, so ist es auch der Punkt $\alpha$, mithin ist, da ein jeder der Punkte $\delta$, $\varepsilon$ gegeben, auch eine jede der Linien $\delta\alpha$, $\alpha\varepsilon$ der Lage nach gegeben.

Synthesis. Es sei der Kreis $\alpha\beta\gamma$ und die beiden Punkte $\delta$, $\varepsilon$ der Lage nach gegeben. Man ziehe die beliebige Linie $\alpha\delta\beta$, und es sei Rechteck $\alpha\delta \cdot \delta\beta$ = Rechteck $\varepsilon\delta \cdot \delta\zeta$, d. h. man lege an den Kreis $\alpha\beta\gamma$ die Tangente $\beta\zeta$, und ziehe die Linie $\gamma\varepsilon\alpha$. Da nun $\angle\ \zeta\beta\delta = \angle\ \varepsilon$, denn die Punkte $\alpha$, $\beta$, $\varepsilon$, $\zeta$ liegen auf der Peri-

Hosted by Google

*Πρόβλημα εἰς τὸ ιθ̄. Θέθει δοθέντος τοῦ αβγ κύκλου, [καὶ] δύο δοθέντων [σημείων] τῶν δ, ε, κλᾶν [ἀπὸ] δοθέν-των [τῶν δ, ε] τὴν δαε, ὥστε παράλληλον εἶναι τὴν βγ τῇ δε. Γεγονέτω· καὶ ἤχθω ἐφαπτομένη ἡ βζ. γίνεται οὖν πάλιν ἐν κύκλῳ τὰ α, ζ, β, ε σημεῖα, καὶ ἴσον τὸ ὑπὸ αδβ τῷ ὑπὸ εδζ· δοθὲν δὲ τὸ ὑπὸ αδβ, δοθὲν ἄρα καὶ τὸ ὑπὸ εδζ. καὶ ἔστι δοθεῖσα ἡ δε· δοθεῖσα ἄρα καὶ ἡ δζ. ἀλλὰ καὶ τῇ θέσει· καὶ ἔστι δοθὲν τὸ δ, δοθὲν ἄρα καὶ τὸ ζ, ὥστε θέσει ἡ βζ. ἀλλὰ καὶ ὁ κύκλος· δοθὲν ἄρα ἐστὶ τὸ β. ἀλλὰ καὶ τὰ δ, ε, δοθεῖσα ἄρα ἐστὶν ἑκατέρα τῶν δα, αε. ὁμοίως γὰρ τοῖς πρό-τερον δείξομεν, καὶ ὁμοίως ἡ σύνθεσις τῷ πρὸ αὐτοῦ.*

νῶν παρὰ φύσιν εἰς ὕψος ἀνάγουσιν ἐλάττονι δυνάμει κινοῦντες· καὶ ἡ τῶν ὀργανοποιῶν τῶν πρὸς τὸν πόλεμον ἀναγκαίων, καλουμένων δὲ καὶ αὐτῶν μηχανικῶν· βέλη γὰρ καὶ λίθους καὶ σίδηρα καὶ τὰ παραπλήσια τούτοις ἐξαποστέλλεται εἰς μακρὸν ὁδοῦ μῆκος τοῖς ὑπ' αὐτῶν γινομένοις ὀργάνοις καταπελτικοῖς. πρὸς δὲ ταύταις ἡ τῶν ἰδίως πάλιν καλουμένων μηχανοποιῶν, ἐκ βάθους γὰρ πολλοῦ ὕδωρ εὐκολώτερον ἀνάγεται διὰ τῶν ἀντλημιατικῶν ὀργάνων, ὧν αὐτοὶ κατασκευάζουσι. καλοῦσι δὲ μηχανικοὺς οἱ παλαιοὶ καὶ τοὺς θαυμασιουργοὺς, ὧν οἱ μὲν διὰ πνευμάτων φιλοτεχνοῦσιν, ὡς Ἥρων πνευματικοῖς, οἱ δὲ διὰ νευρίων καὶ σπάρτων ἐμψύχων κινήσεις δοκοῦσι μιμεῖσθαι, ὡς Ἥρων αὐτομάτοις καὶ ζυγίοις, ἄλλοι δὲ διὰ τῶν ἐφ' ὕδατος ὀχουμενῶν, ὡς Ἀρχιμήδης ὀχουμένοις, ἢ τῶν δι' ὕδατος ὡρολογίων, ὡς Ἥρων ὑδρείοις, ἃ δὴ καὶ τῇ γνωμονικῇ θεωρίᾳ κοινωνοῦντα φαίνεται. μηχανικοὺς δὲ καλοῦσι καὶ τοὺς τὰς σφαιροποιΐας ποιεῖν ἐπισταμένους, ὑφ' ὧν εἰκὼν τοῦ οὐρανοῦ κατασκευάζεται δι' ὁμαλῆς καὶ ἐγκυκλίου κινήσεως ὕδατος. πάντων δὲ τούτων τὴν αἰτίαν καὶ τὸν λόγον ἐπεγνωκέναι φασί τινες τὸν Συρακούσιον Ἀρχιμήδην, μόνος γὰρ οὗτος ἐν τῷ καθ' ἡμᾶς βίῳ ποικίλῃ πρὸς πάντα κέχρηται τῇ φύσει καὶ τῇ ἐπινοίᾳ, καθὼς καὶ Γεμῖνος ὁ μαθηματικὸς ἐν τῷ περὶ τῆς τῶν μαθημάτων τάξεώς φησιν. ὁ Καρπὸς δὲ πού φησιν ὁ Ἀντιοχεὺς Ἀρχιμήδην τὸν Συρακούσιον ἓν μόνον βιβλίον συντεταχέναι μηχανικὸν, τὸ κατὰ τὴν σφαιροποιΐαν, τῶν δὲ ἄλλων οὐδὲν ἠξιωκέναι συντάξαι· καὶ τοι παρὰ τοῖς πολλοῖς ἐπὶ μηχανικῆς δοξασθεὶς καὶ μεγαλοφυής τις γενόμενος ὁ θαυμαστὸς ἐκεῖνος, ὥστε διαμεῖναι [1]) παρὰ πᾶσιν ἀνθρώποις ὑπερβαλλόντως ὑμνούμενος. τῶν δὲ προηγουμένων γεωμετρικῆς καὶ ἀριθμητικῆς ἐχομένων θεωρίας καὶ τὰ βραχύτατα δοκοῦντα εἶναι σπουδαίως συνέγραφεν, ὡς φαίνεται τὰς εἰρημένας ἐπιστήμας οὕτως ἀγαπήσας, ὡς μηδὲν ἔξωθεν ὑπομένειν αὐταῖς ἐπεισάγειν. αὐτὸς δὲ Καρπὸς καὶ ἄλλοι τινὲς συνεχρήσαντο γεωμετρίᾳ καὶ εἰς τέχνας τινὰς εὐλόγως· γεωμετρία γὰρ οὐδὲν βλάπτεται σωματοποιεῖν πεφυκυῖα πολλὰς τέχνας διὰ τοῦ συνεῖναι αὐταῖς· μήτηρ οὖν ὥσπερ οὖσα τεχνῶν οὐ βλάπτεται διὰ τοῦ

---

[1]) Die Hdsch hat *δαμεῖναι*

Hosted by Google

aber sind die am meisten nothwendigen Künste die, welche für den Bedarf des Lebens sorgen: die Baukunst, welche den andern vorangeht, die Kunst der Zauberer, die ebenfalls von den Alten Mechaniker genannt werden, denn diese heben grosse Lasten durch Maschinen auf unnatürliche Weise in die Höhe und zwar mittelst einer kleineren Kraft; die Kunst derer, die das zum Kriege Nothwendige zurüsten, welche auch Mechaniker heissen, denn Geschosse, Steine, Waffen und diesen ähnliches werden auf eine weite Strecke durch die von ihnen construirten Wurfmaschinen fortgeschleudert. Ausser diesen die Kunst derjenigen, die eigentlich Maschinenbauer genannt werden; aus grosser Tiefe nämlich wird Wasser durch Schöpfmaschinen, welche sie anfertigen, emporgehoben. Die Alten nennen auch die Gaukler Mechaniker, von denen die einen mittelst Luft ihre Kunst treiben, wie Hero in den *πνευματικοῖς*, die andern durch Sehnen und Stricke die Bewegungen Lebendiger nachzuahmen scheinen, wie Hero in den *αὐτομάτοις καὶ ζυγίοις*, noch andere durch Maschinen die vom Wasser bewegt werden, wie Archimedes in den *ὀχουμένοις*, oder durch Wasseruhren, wie Hero in den *ὑδρείοις*, die jedoch auch etwas aus der Gnomonik entlehnt zu haben scheinen. Mechaniker nennt man auch diejenigen, welche Kugeln zu machen verstehen, aus welchen ein Bild des Himmels mittelst einer gleichmässigen, kreisförmigen Wasserbewegung bereitet wird. Die Ursache von diesem allen und den Grund, sagt man, habe Archimedes aus Syrakus erkannt; er allein nämlich unter unsern Zeitgenossen — so bemerkt der Mathematiker Geminus in seinem Werke über die Reihenfolge der mathematischen Disciplinen — hat sich auf mannichfaltige Weise zu allen der Natur und des Nachdenkens bedient. Karpus aus Antiochien sagt irgendwo, dass der Syrakusaner Archimedes nur eine einzige mechanische Schrift, die über die Anfertigung von Globen, verfasst, von anderem aber nicht für werth gehalten habe etwas zusammenzustellen, und doch wurde er von den meisten in Betreff der Mechanik gepriesen, und wenn irgend einer wegen grosser geistiger Anlagen bewunderungswerth war, so war er es, so dass er unter allen Menschen überschwenglich gefeiert blieb. Er hat aber — und das ist diesem vorzuziehen — über Geometrie und Arithmetik, obwohl dem Anschein nach sehr kurz, fleissig gearbeitet, denn er liebte die erwähnten Wissenschaften offenbar so sehr dass er nicht duldete etwas Fremdes ihnen zuzuführen. Karpus



Hosted by Google

φροντίζειν ὀργανικῆς καὶ ἀρχιτεκτονικῆς· οὐδὲ γὰρ διὰ τὸ συνεῖναι γεωμετρίᾳ καὶ γνωμονικῇ καὶ μηχανικῇ καὶ σκηνογραφίᾳ βλάπτεταί τι, τοὐναντίον δὲ προάγουσα μὲν ταύτας φαίνεται, τιμωμένη δὲ καὶ κοσμουμένη δεόντως ὑπ' αὐτῶν. τοιαύτης δὲ τῆς μηχανικῆς ἐπιστήμης ὁμοῦ καὶ τέχνης ὑπαρχούσης καὶ εἰς τοσαῦτα μέρη διηρημένης, καλῶς ἔχειν ἐνόμισα λόγῳ γεωμετρικῷ θεωρούμενα καὶ ἀναγκαιότατα περὶ τὴν τῶν βαρῶν κίνησιν, κείμενα δὲ παρὰ τοῖς παλαιοῖς καὶ τὰ ὑφ' ἡμῶν εὐχρήστως ἀνευρημένα θεωρήματα συντομώτερον καὶ σαφέστερον ἀναγράψας βελτίονί τε λόγῳ τοῦ παρὰ τοῖς πρότερον ἀναγεγραμμένου συντάξας, οἷον βάρους δοθέντος ὑπὸ δοθείσης ὑποδοχῆς ἀγομένου δυνάμεως ἐν τῷ παρὰ τὸν ὁρίζοντα ἐπιπέδῳ, καὶ ἑτέρου ἐπιπέδου κεκλιμένου πρὸς τὸ ὑποκείμενον δοθεῖσαν γωνίαν ὑποθέντος εὑρεῖν τὴν δύναμιν, ὑφ' ὅσης ἀχθήσεται τὸ βάρος ἐν τῷ κεκλιμένῳ ἐπιπέδῳ· τοῦτο δὲ χρήσιμον τοῖς μηχανικοῖς μαγγαναρίοις, προσθέντες γὰρ τῇ εὐρεθείσῃ δυνάμει ἑτέραν τινὰ δύναμιν ἀνδρῶν θαρσοῦντες ἀνάγουσι τὸ βάρος. καὶ δύο δοθεισῶν εὐθειῶν ἀνίσων, δύο μέσας ἀνάλογον εὑρεῖν ἐν συνεχεῖ ἀναλογίᾳ· διὰ γὰρ τοῦ θεωρήματος τούτου πᾶν τὸ δοθὲν στερεὸν σχῆμα κατὰ τὸν δοθέντα λόγον αὔξεταί τε καὶ μειοῦται. καὶ πῶς δυνατόν ἐστι τυμπάνου δοθέντος καὶ τὸ πλῆθος τῶν σκυτάλων αὐτοῦ δοθέντων ἢ ὀδόντων παραθῆναι αὐτῷ τύμπανον δοθὲν ἔχον τὸ πλῆθος τῶν ὀδόντων καὶ εὑρεῖν τὴν διάμετρον τοῦ παρατιθεμένου τυμπάνου· τοῦτο γὰρ χρήσιμον εἰς πολλὰ καὶ τῇ τῶν μηχανοποιῶν τέχνῃ διὰ τὴν παράδοσιν τῶν σκυταλωτῶν τυμπάνων. ἕκαστον δὲ τούτων ἐν τῷ οἰκείῳ τόπῳ γενήσεται φανερὸν μετὰ καὶ ἄλλων χρησίμων ἀρχιτέκτονι καὶ μηχανικῷ, ἐὰν πρότερον τὰ συνέχοντα τὴν κεντροβαρικὴν πραγματείαν εἴπωμεν ἑξῆς. τί μὲν οὖν ἐστι τὸ βαρὺ καὶ τὸ κοῦφον, καὶ τίς αἰτία τῆς ἄνω καὶ κάτω τοῖς σώμασι φορᾶς, καὶ αὐτό γε τὸ ἄνω καὶ κάτω τίνος ἐννοίας ἔχεται, καὶ τίσιν ἀφώρισται πέρασιν, οὐδὲν δεῖ λέγεσθαι παρ' ἡμῶν τὸ νῦν, ἐπειδὴ περὶ τούτων ἐν τοῖς μαθηματικοῖς ὑπὸ τοῦ Πτολεμαίου δεδήλωται. τὸ δὲ κέντρον τοῦ βάρους ἑκάστου σώματος, ὅ τῆς κεντροβαρικῆς πραγματείας ἀρχὴ καὶ στοιχεῖόν ἐστιν, ἐξ ἧς καὶ τὰ λοιπὰ μέρη τῆς μηχανικῆς ἀνήρτηται, τί ποτ' ἐστὶ καὶ τὶ βούλεται λεκτέον, ἐκ τούτου γὰρ οἶμαι καὶ τὰ λοιπὰ τῶν ἐν τῇ πραγπατείᾳ θεωρουμένων ἔσται σαφῆ. λέγομεν δὲ κέντρον βάρους

Hosted by Google

aber und einige andere haben sich der Geometrie auch zu gewissen Künsten zweckmässig bedient, denn die Geometrie wird auf keine Weise verletzt, wenn sie viele Künste dadurch, dass sie sich mit ihnen verbindet, vergrössern hilft. Gewissermassen als Mutter der Künste wird sie nicht verletzt, dass sie für die Fabrication von Werkzeugen und für die Baukunst Sorge trägt, denn durch eine Verbindung der Geometrie und Gnomonik und Mechanik und Perspective leidet nichts Schaden, im Gegentheil sie erweitert offenbar jene Künste und wird von ihnen geehrt und nach Gebühr verherrlicht. Da nun solchergestalt die Mechanik zugleich Wissenschaft und Kunst ist und in so viele Theile zerfällt, so habe ich für gut gehalten, wenn ich die mit Hülfe der Geometrie gewonnenen, nothwendigsten Theoreme über die Bewegung der schweren Körper, die in den Schriften der Alten vorhanden und die von unsern Zeitgenossen geschickt aufgefunden sind, kürzer und deutlicher niederschreibe und auf eine bessere Weise als es früher geschehen zusammenstelle, wie z. B. wenn eine gegebene Last von einer gegebenen Kraft auf einer zum Horizont parallelen Ebene bewegt wird und eine andere Ebene unter einem gegebenen Winkel gegen die erstere geneigt ist, die Kraft zu finden, durch welche die Last auf der geneigten Ebene bewegt wird; dies ist für die mechanischen Zauberer von Nutzen, indem sie nämlich der gefundenen Kraft eine andere menschliche Kraft hinzufügen, heben sie zuversichtlich die Last in die Höhe. Ferner wenn zwei ungleiche gerade Linien gegeben sind, zwei mittlere Proportionalen in stetiger Proportion zu finden; mit Hülfe dieses Theorems wird nämlich jede gegebene körperliche Figur nach einem gegebenen Verhältniss sowohl vergrössert als erkleinert. Ferner wie es möglich ist, wenn eine Scheibe und die Anzahl der Stöcke oder Zähne daran gegeben sind, mit derselben eine andere Scheibe mit einer gegebenen Anzahl von Zähnen zusammenzustellen und den Durchmesser der letzteren zu finden, was in vieler Hinsicht auch für die Kunst der Maschinisten von Nutzen ist wegen der Verbindung von Scheiben, die mit Triebstöcken versehen sind. Ein jedes von diesen wird an seinem Orte deutlich werden, zugleich mit anderm was für den Baumeister und Mechaniker nützlich ist, wenn wir vorher das was sich auf die Behandlung des Schwerpunktes bezieht, im Folgenden dargestellt haben. Was schwer und was leicht ist, welches die Ursache des Auf- und Niedersteigens der Körper ist, mit wel-

Hosted by Google

ἑκάστου σώματος εἶναι σημεῖόν τι κείμενον ἐντὸς, ἀφ᾽ οὗ κατ᾽ ἐπίνοιαν ἀρτηθὲν τὸ βάρος ἠρεμεῖ φερόμενον καὶ φυλάσσει τὴν ἐξ ἀρχῆς θέσιν, οὐ μὴ περιτρεπόμενον ἐν τῇ φορᾷ. τοῦτο δὲ τὸ σημεῖον οὐ μόνον ἐν τοῖς τεταγμένοις, ἀλλὰ κἂν τοῖς ἀτάκτως ἐσχηματισμένοις εὑρίσκεται σώμασιν ὑπάρχον ἐφόδῳ τινὶ θεωρούμενον τοιαύτῃ· ὑποκείσθω γὰρ ἐπίπεδον ὀρθὸν τὸ αβγδ, νεῦον εἰς τὸ τοῦ παντὸς κέντρον, ἐφ᾽ ὃ καὶ τὰ βάρος ἔχοντα πάντῃ τὴν ῥοπὴν ἔχειν δοκεῖ, καὶ ἔστω ἡ αβ εὐθεῖα παράλληλος τῷ ἐφ᾽ οὗ βεβήκαμεν ἐπιπέδῳ. ἐὰν δή τι τῶν βάρος ἐχόντων σωμάτων τιθῆται κατὰ τῆς αβ εὐθείας οὕτως, ὥστε τετμῆσθαι πάντως ὑπὸ τοῦ ἐπιπέδου ἐκβαλλομένου, ἕξει ποτὲ θέσιν τοιαύτην, ὥστε μένειν ἀπερίτρεπτον καὶ μὴ ἀποπίπτειν. γενομένου δὲ τούτου, ἐὰν νοηθῇ τὸ αβγδ ἐπίπεδον ἐκβαλλόμενον, τεμεῖ τὸ ἐπικείμενον σῶμα εἰς ἰσόῤῥοπα δύο μέρη, οἷον περὶ ἄρτημα τὸ ἐπίπεδον ἰσορῥοποῦντα. πάλιν δὴ τὸ βάρος μετατεθὲν ὥστε καθ᾽ ἕτερον μέρος ψαύειν τῆς αβ εὐθείας, ἕξει ποτὲ θέσιν περιτρεπόμενον, ὥστε μένειν ἀφεθὲν καὶ μὴ ἀποπίπτειν. ἐὰν οὖν πάλιν νοηθῇ τὸ αβγδ ἐπίπεδον ἐκβεβλημένον, εἰς ἰσορῥοποῦντα μέρη τεμεῖ τὸ βάρος, καὶ συμπεσεῖται τῷ πρότερον ἰσόῤῥοπα τέμνοντα τὸ αὐτὸ βάρος ἐπιπέδῳ· εἰ γὰρ μὴ τεμεῖ, τὰ αὐτὰ μέρη καὶ ἰσόῤῥοπα καὶ ἀνισόῤῥοπα γενήσεται ἀλλήλοις.

Hosted by Google

cher Vorstellung dieses Hinauf und Herunter verknüpft ist, und welche Gränzen ihm angewiesen sind, darüber bedarf es jetzt von unserer Seite keiner Worte, da davon bereits Ptolomäus in seinen mathematischen Schriften gehandelt hat. Was aber der Schwerpunkt eines jeden Körpers, welches der Anfang und das Erste der Schwerpunktslehre ist, wovon auch die übrigen Theile der Mechanik abhängen, und was seine Bedeutung ist, darüber muss gehandelt werden, denn hieraus ergiebt sich nach meinem Dafürhalten auch deutlich das Uebrige, was in diesem Abschnitt behandelt wird. Wir nennen den Schwerpunkt eines jeden Körpers einen in ihm liegenden Punkt, so dass der schwere Körper, wenn er darin aufgehangen gedacht wird, in Ruhe bleibt, seine ursprüngliche Lage behält und sich nicht in schneller Bewegung dreht. Dieser Punkt ist nicht allein in den geordneten, sondern auch in den ohne alle Ordnung gebildeten Körpern vorhanden und wird folgendermassen gefunden. Es sei $\alpha\beta\gamma\delta$ [*Command. I.*]




eine senkrechte Ebene, die nach dem Mittelpunkt des Alls gerichtet ist, wohin auch alles Schwere überhaupt zu fallen scheint, und es sei die Gerade $\alpha\beta$ der Ebene auf welcher wir stehen parallel. Wenn nun ein schwerer Körper auf der Linie $\alpha\beta$ so gelegt wird, dass er von der erweiterten Ebene vollständig geschnitten wird, so wird er einmal eine solche Lage einnehmen, dass er unbeweglich bleibt und nicht fällt. Wenn nun unter dieser Voraussetzung die Ebene $\alpha\beta\gamma\delta$ erweitert gedacht wird, so theilt sie den darauf liegenden Körper in zwei Theile von gleichem Gewicht, die zu beiden Seiten der Ebene wie an einem Aufhängepunkt gleichmässig schweben. Wird ferner die Lage des schweren Körpers verändert, so dass er von einer andern Seite die Linie $\alpha\beta$ trifft, so wird er einmal, nachdem er sich gedreht, eine Lage einnehmen, dass er losgelassen unverändert bleibt und nicht fällt. Wenn nun wiederum die Ebene $\alpha\beta\gamma\delta$ erweitert gedacht wird, so theilt sie den schweren Körper in Theile von gleichem Gewicht und wird die vorher den Körper in gleichschwere Theile theilende Ebene treffen, denn träfe sie dieselbe nicht, so würden dieselben Theile sowohl gleich an Gewicht als nicht gleich an Gewicht sein.

Hosted by Google

*Τούτων δὴ προειρημένων, νοείσθω πάλιν εὐθεῖα ἡ αβ ὀρθὴ πρὸς τὸ ἐφ᾽ οὗ βεβήκαμεν ἐπίπεδον, εἰς τὸ τοῦ παντὸς κέντρον δηλονότι νεύουσα, καὶ τὸ βάρος ὁμοίως ἐπὶ τοῦ α σημείου τιθέσθω, οἷον ὑποθέματι τῇ αβ εὐθείᾳ χρώμενον, στήσεται δήποτε κατα τοῦ α σημείου, ὥστε μένειν, εἴγε δὴ καὶ ἐπὶ τοῦ δι᾽ αὐτῆς ἐπιπέδου τὸ βάρος ἠρεμεῖν ἐδύνατο. ἐὰν δὴ μένοντος αὐτοῦ ἐκβληθῇ ἡ αβ εὐθεῖα, ἐναπολειφθήσεταί τι μέρος αὐτῆς ἐν τῷ ὑποκειμένῳ σχήματι. νοείσθω δὴ τοῦτο μένον, καὶ πάλιν καθ᾽ ἕτερον μέρος ὑποκείσθω τῇ εὐθείᾳ τὸ βάρος ὥστε ἠρεμεῖν· λέγω δὴ ὅτι ἐκβληθεῖσα ἡ αβ εὐθεῖα συμπεσεῖται* [1]) *.... δυνήσεταί τινα δι᾽ ἀμφοτέρων αὐτῶν ἐκβληθέντα ἐπίπεδα μὴ συμπεσόντα ἀλλήλοις ἐντὸς τοῦ σχήματος καὶ ἑκάτερον αὐτῶν ἐφαρμοζόμενον τῷ διὰ τῆς αβ ἐπιπέδῳ διελεῖν τὸ βάρος εἰς ἰσόῤῥοπα καὶ ἀνισόῤῥοπα τὰ αὐτὰ μέρη, ὅπερ ἄτοπον. συμπεσοῦνται ἄρα αἱ εἰρημέναι εὐθεῖαι ἐντὸς τοῦ σχήματος. ὁμοίως δὲ κἂν κατ᾽ ἄλλας θέσεις τίθηται τὸ βάρος ἐπὶ τοῦ α σημείου, ὥστε μένειν, ἐκβληθεῖσα ἡ αβ συμπεσεῖται ταῖς πρότερον ἐναπειλημμέναις ὁμοίως εὐθείαις. ἐξ οὗ φανερὸν, ὡς κἀθ᾽ ἓν σημεῖον ἀλλήλας τεμοῦσιν αἱ τὸν εἰρημένον τρόπον ἐπινοούμεναι εὐθεῖαι. τὸ δὲ σημεῖον τοῦτο κέντρον τοῦ βάρους καλεῖται, καὶ φανερὸν ὅτι ἐκ τοῦ κέντρου κατ᾽ ἐπίνοιαν τὸ βάρος ἀρτώμενον οὐ περιτραπήσεται, μένει δὲ τὴν ἐξ ἀρχῆς φυλάσσον ἠντινοῦν θέσιν ἐν τῇ φορᾷ· πάντα γὰρ δι᾽ αὐτοῦ ἐκβληθέντα ἐπίπεδα ἰσόῤῥοπα μέρη διαιρεῖ τὸ βάρος, ἔστι δὲ μηδεμίαν αἰτίαν ἐπιδέχεσθαι περιτροπῆς ἰσοῤῥόπων αὐτοῦ κατὰ πᾶσαν θέσιν τῶν ἐφ᾽ ἑκάτερα τοῦ σημείου γινομένων μερῶν.*

---

[1]) Die Lücke die hier offenbar vorhanden ist, wird von der Hdsch. nicht angezeigt. Es scheint eine Zeile ausgefallen zu sein. In der Uebersetzung ist *Commandin's* Text aufgenommen.

Hosted by Google

Nachdem dies vorausgeschickt, werde wiederum auf der Ebene, auf der wir stehen, die Gerade $\alpha\beta$ senkrecht gedacht, die alsdann offenbar nach dem Mittelpunkt des Alls gerichtet ist, und auf ähnliche Weise werde der schwere Körper auf den Punkt $\alpha$ gelegt, indem er sich der Geraden $\alpha\beta$ wie einer Stütze bedient, so wird er irgend einmal auf dem Punkte $\alpha$ ruhen, so dass er unverändert seine Lage behält, wenigstens wenn der schwere Körper auch auf der durch sie gelegten Ebene ruhen konnte. Wenn nun, indem derselbe ruhig seine Lage behält, die Gerade $\alpha\beta$ verlängert wird, so wird ein Theil derselben in der vorliegenden Figur enthalten sein. Es behalte dieselbe ihre Lage unverändert, und wiederum liege der schwere Körper auf einer andern Seite auf der Geraden so dass er sich nicht bewegt, so wird die Gerade $\alpha\beta$ in ihrer Verlängerung auf die frühere in der Figur enthaltene treffen. Wäre dies nicht der Fall, so werden die durch sie beide gelegten Ebenen in ihrer Erweiterung innerhalb der Figur nicht zusammentreffen können, und eine jede derselben theilt den schweren Körper in dieselben Theile von gleichem und von ungleichem Gewicht, was absurd ist. Mithin werden die erwähnten Geraden innerhalb der Figur sich schneiden. Auf ähnliche Weise wird, auch wenn der schwere Körper in andern Lagen auf den Punkt $\alpha$ gelegt wird, so dass er ruht, die verlängerte $\alpha\beta$ mit den früheren auf ähnliche Weise angenommenen Geraden zusammentreffen. Hieraus folgt, dass die auf diese Weise angenommenen Linien sich in einem einzigen Punkte schneiden. Dieser Punkt wird der Schwerpunkt genannt, und es ist klar, dass der schwere Körper, wenn man ihn im Schwerpunkt aufgehangen sich denkt, sich nicht drehen wird; er ruht vielmehr, indem er seine anfängliche Lage, welche sie auch in der Bewegung sein mochte, beibehält, denn alle durch denselben gelegte Ebenen theilen den schweren Körper in Theile von gleichem Gewicht, und eine Ursache zur Drehung kann gar nicht angenommen werden, da in jeder Lage des Körpers die auf jeder Seite des Punktes liegenden Theile von gleichem Gewicht sind.

Hosted by Google

Τὸ μὲν οὖν μάλιστα συνέχον τὴν κεντροβαρικὴν πραγματείαν, τοῦτ᾽ ἄν εἴη· μάθοις δ᾽ ἂν τὰ μὲν στοιχειώδη ὄντα διὰ ταύτης δεικνύμενα τοῖς Ἀρχιμήδους περὶ ἰσορρόπιῶν ἐντυχοῦν καὶ τοῖς Ἥρωνος μηχανικοῖς. ὅσα δὲ μὴ γνώριμα τοῖς πολλοῖς, γράψομεν ἐφεξῆς· οἷον τὰ τοιαῦτα. ἔστω τρίγωνον τὸ αβγ καὶ αἱ πλευραὶ αὐτοῦ εἰς τὸν αὐτὸν λόγον τεμνέσθωσαν τοῖς η, ϑ, κ σημείοις, ὥστε εἶναι ὡς τὴν αη πρὸς ηβ [οὕτω] τὴν ϑβ πρὸς ϑγ καὶ τὴν γκ πρὸς κλ, ἐπεζεύχθωσαν αἱ ηϑ, ϑκ, κη· ὅτι τοῦ αβγ τριγώνου καὶ τοῦ ηϑκ τὸ αὐτὸ κέντρον βάρεός ἐστιν. .....[1]) τοῦ αβγ τριγώνου. ἐὰν γὰρ τὸ τρίγωνον ἐπί τινος ὀρϑοῦ ἐπιπέδου ἐπισταϑῇ κατὰ τὴν αδ εὐϑεῖαν, ἐπ᾽ οὐδέτερον μέρος ῥέψει τὸ τρίγωνον, διὰ τὸ ἴσον εἶναι τὸ αβδ τρίγωνον τῷ αγδ τριγώνῳ. ἐπισταϑὲν δὲ ὁμοίως τὸ αβγ τρίγωνον κατὰ τὴν βε ἐπὶ τοῦ ὀρϑοῦ ἐπιπέδου, ἐπ᾽ οὐδέτερον μέρος ῥέψει, διὰ τὸ ἴσα εἶναι τὰ αβε, βγε τρίγωνα. εἰ δὲ ἐφ᾽ ἑκατέρᾳ τῶν αδ, βε ἰσορρέπειτὸ τρίγωνον, τὸ ἄρα κοινὸν αὐτῶν σημεῖον τὸ ζ κέντρον ἔσται τοῦ βάρεος· νοεῖν δὲ δεῖ τὸ ζ, ὡς προείρηται, κείμενον ἐν μέσῳ τοῦ αβγ τριγώνου ἰσοπαχοῦς τε καὶ ἰσοβαροῦς δηλονότι ὑποκειμένου. καὶ φανερὸν ὅτι διπλασία ἐστὶν ἡ μὲν αζ τῆς ζδ, ἡ δὲ ζβ τῆς ζε, ὅτι καὶ ὡς ἡ γα πρὸς αε οὕτως ἡ αβ πρὸς δε καὶ ἡ βζ πρὸς ζε καὶ ἡ αζ πρὸς ζδ, διὰ τὸ ἰσογώνια εἶναι καὶ τὰ δζε, αβζ τρίγωνα καὶ τὰ γδε, αβγ. ἐπιζευχϑεῖσα οὖν ἡ δε τεμνέτω τὴν ϑκ κατὰ τὸ λ. ἐπεὶ οὖν ὁ τῆς βδ πρὸς ϑγ λόγος συνῆπται ἔκ τε τοῦ τῆς ϑβ πρὸς δϑ καὶ τοῦ τῆς δϑ πρὸς ϑγ, καὶ ἔστι συνϑέντι ὡς ἡ βγ πρὸς γϑ [οὕτως] ἡ γα πρὸς ακ, καὶ τῶν ἡγουμένων τὰ ἡμίση ὡς ἡ γδ πρὸς γϑ [οὕτως] ἡ εα πρὸς ακ, καὶ ἀναστρέψαντι ὡς ἡ γδ πρὸς δϑ [οὕτως] ἡ αε πρὸς εκ, ἴση δὲ ἡ μὲν γδ τῇ βδ, ἡ δὲ αε τῇ γε· καὶ ὡς ἄρα ἡ βδ πρὸς δϑ οὕτως ἡ γε πρὸς εκ· συνϑέντι ἄρα ὡς ἡ βϑ πρὸς ϑδ οὕτως ἡ γκ πρὸς κε. σύγκειται ἄρα καὶ τῆς αη πρὸς ηβ λόγος ἔκ τε τοῦ τῆς γκ πρὸς κε καὶ τοῦ τῆς δϑ πρὸς ϑγ, σύγκειται δὲ ἐκ τῶν αὐτῶν καὶ ὁ τῆς δλ πρὸς λε, καὶ ἴση ἐστὶν ἡ ϑλ τῇ λκ, ὡς δειχϑήσεται· ἔστιν ἄρα καὶ ὡς ἡ αη πρὸς ηβ οὕτως ἡ δλ πρὸς λε. καὶ εἰσὶν παράλληλοι αἱ αβ, δε, καὶ ἐπιζευγνύμεναι αἱ αδ, βε τέμνουσι ἀλλήλας κατὰ τὸ ζ·

---

[1]) Die Hlsch. zeigt hier keine Lücke; offenbar ist aber eine Zeile ausgefallen. In der Uebersetzung ist *Commandin's* Text aufgenommen.

Hosted by Google

Das wäre das Hauptsächlichste in Betreff der Behandlung des Schwerpunktes, und du dürftest nun das Elementare, das dadurch in den Schriften Archimed's über das Gleichgewicht und in den mechanischen Schriften Hero's bewiesen wird, verstehen. Was den meisten nicht bekannt ist, werden wir der Reihe nach darlegen, z. B. Folgendes. Werden die Seiten [*Command. II.*] eines Dreiecks $\alpha\beta\gamma$ nach demselben Verhältniss in den Punkten $\eta, \vartheta, \varkappa$ getheilt, so dass $\alpha\eta : \eta\beta = \vartheta\beta : \vartheta\gamma = \gamma\varkappa : \varkappa\lambda$, und die Geraden $\eta\vartheta, \vartheta\varkappa, \varkappa\eta$ gezogen, so haben die Dreiecke $\alpha\beta\gamma$, $\eta\vartheta\varkappa$ denselben Schwerpunkt. Man halbire $\beta\gamma$, $\gamma\alpha$ in den Punkten $\delta$, $\varepsilon$ und ziehe $\alpha\delta$, $\beta\varepsilon$, so ist der Punkt $\zeta$, in welchem sie sich schneiden, der Schwerpunkt des Dreiecks $\alpha\beta\gamma$. Wird nämlich das Dreieck längs der Geraden $\alpha\delta$ auf eine senkrechte Ebene gelegt, so wird es sich nach keiner Seite hin neigen, weil $\triangle\ \alpha\beta\delta = \triangle\ \alpha\gamma\delta$. Wird auf ähnliche Weise das Dreieck $\alpha\beta\gamma$ längs der Linie $\beta\varepsilon$ auf eine senkrechte Ebene gelegt, so wird es ebenfalls nach keiner Seite hin sich neigen, weil $\triangle\ \alpha\beta\varepsilon = \triangle\ \beta\gamma\varepsilon$. Wenn aber auf jeder der Linien $\alpha\delta$, $\beta\varepsilon$ das Dreieck im Zustand des Gleichgewichts ist, so wird der ihnen gemeinschaftliche Punkt $\zeta$ der Schwerpunkt sein. Wie oben erwähnt ist, muss man sich diesen Punkt $\zeta$ mitten im Dreieck $\alpha\beta\gamma$ liegend vorstellen, das, wie sich von selbst versteht, gleichmässig dick und gleichmässig schwer vorausgesetzt wird. Offenbar ist nun $\alpha\zeta = 2\,\zeta\delta$, $\zeta\beta = 2\,\zeta\varepsilon$, ferner $\gamma\alpha : \alpha\varepsilon = \alpha\beta : \delta\varepsilon = \beta\zeta : \zeta\varepsilon = \alpha\zeta : \zeta\delta$, weil die Dreiecke $\delta\zeta\varepsilon$, $\alpha\beta\zeta$ und $\gamma\delta\varepsilon$, $\alpha\beta\gamma$ gleichwinklig sind. Es schneide nun die Linie $\delta\varepsilon$ die $\vartheta\varkappa$ im Punkte $\lambda$. Da das Verhältniss $\beta\vartheta : \vartheta\gamma$ aus $\vartheta\beta : \delta\vartheta$ und $\delta\vartheta : \vartheta\gamma$ zusammengesetzt ist, und durch Zusammenfassen $\beta\gamma : \gamma\vartheta = \gamma\alpha : \alpha\varkappa$, ferner durch Halbirung der Vorderglieder $\gamma\delta : \gamma\vartheta = \varepsilon\alpha : \alpha\varkappa$ und durch Differenz $\gamma\delta : \delta\vartheta = \alpha\varepsilon : \varepsilon\varkappa$, und da $\gamma\delta = \beta\delta$, $\alpha\varepsilon = \gamma\varepsilon$, so ist $\beta\delta : \delta\vartheta = \gamma\varepsilon : \varepsilon\varkappa$,




Hosted by Google

εὐθεῖα ἄρα ἐστὶν ἡ διὰ τῶν η, ζ, λ, καὶ τοῦτο γὰρ ἑξῆς εἰ μικρόν ἐστιν. καὶ ἐπεί ἐστιν ὡς ἡ βζ πρὸς ζε οὕτως ἡ ηζ πρὸς ζλ, διπλῆ δὲ ἡ βζ τῆς ζε, διπλῆ ἄρα καὶ ἡ ηζ τῆς ζλ. τριγώνου δὴ τοῦ ηθκ διχοτομία τὸ λ, καὶ διπλῆ ἡ ηζ τῆς ζλ, τὸ ζ ἄρα κέντρον [τοῦ βάρους] ἐστὶν τοῦ ηθκ τριγώνου. ἦν δὲ καὶ τοῦ αβγ.

Τὸ δὲ ὑπερτεθὲν νῦν δειχθήσεται. ἔστω γὰρ ὡς ἡ γδ πρὸς δθ οὕτως ἡ γε πρὸς εκ, καὶ ἐπεζεύχθωσαν αἱ δε, θκ τέμνουσαι ἀλλήλας κατὰ τὸ λ· ὅτι ἴση μέν ἐστιν ἡ θλ τῇ κλ, ὁ δὲ τῆς δλ πρὸς λε λόγος σύγκειται ἔκ τε τοῦ τῆς δθ πρὸς θγ καὶ τοῦ τῆς γκ πρὸς κε. [Ἤχθω γὰρ διὰ τοῦ γ τῇ θκ παράλληλος ἡ γζ συμπίπτουσα τῇ δε] ἐκβληθείσῃ κατὰ τὸ ζ. ἐπεὶ οὖν δύο εὐθεῖαί εἰσιν αἱ [δλ, λε ἔξωθεν τῆς λζ λαμβανομένης, ὁ τῆς] δλ πρὸς λε λόγος σύγκειται ἔκ τε τοῦ τῆς δλ πρὸς λζ καὶ τοῦ τῆς λζ πρὸς ελ· ἀλλὰ τῷ μὲν δλ πρὸς λζ λόγῳ ὁ αὐτός ἐστιν ὁ τῆς δθ πρὸς θγ, διὰ τὸ παράλληλον εἶναι τὴν γζ τῇ κθ, τῷ δὲ τῆς ζλ πρὸς λε λόγῳ ὁ αὐτός ἐστι ὁ τῆς γκ πρὸς κε, διὰ τὸ ἰσογώνια εἶναι τὰ γεζ, εκλ τρίγωνα, καὶ ὁ τῆς δλ ἄρα πρὸς τὴν λε λόγος σύγκειται ἔκ τε τοῦ τῆς δθ πρὸς θγ καὶ ἐκ τοῦ τῆς γκ πρὸς κε. καιὰ τάδε δειχθήσεται, ὅτι καὶ ὁ τῆς κλ πρὸς λθ λόγος συνῆπται ἔκ τε τοῦ τῆς κε πρὸς εγ καὶ τοῦ τῆς γδ πρὸς δθ, παραλλήλου ἀχθείσης τῇ εδ διὰ τοῦ γ τῆς γμ καὶ συμπιπτούσης τῇ κθ ἐκβληθείσῃ κατὰ τὸ μ. ἐπεὶ γὰρ πάλιν δύο εὐθεῖαί εἰσιν αἱ κλ, λθ ἔξωθεν τῆς λμ λαμβανομένης, [ὁ τῆς κλ πρὸς λθ λόγος συνῆπται ἔκ τε τοῦ] τῆς κλ πρὸς λμ καὶ τοῦ τῆς λμ πρὸς λθ· ἀλλ' ὁ μὲν τῆς κλ πρὸς λμ λόγος ὁ αὐτός ἐστι τῷ τῆς κε πρὸς εγ, διὰ τὸ παράλληλον εἶναι πάλιν τὴν εδ τῇ γμ, ὁ δὲ τῆς λμ πρὸς λθ λόγος ὁ αὐτός ἐστι τῷ τῆς γδ πρὸς δθ, διὰ τὸ ἰσογώνια εἶναι τὰ δθλ, γθμ τρίγωνα· ὁ ἄρα τῆς κλ πρὸς λθ λόγος ὁ αὐτός ἐστι τῷ συγκειμένῳ ἔκ τε τοῦ τῆς κε πρὸς εγ, τουτέστι τοῦ τῆς δθ πρὸς δγ, καὶ τοῦ τῆς γδ πρὸς τὴν δθ, ὃς λόγος τὸν τῆς ἰσότητος λόγον ποιεῖ· καὶ ὁ τῆς κλ ἄρα πρὸς τὴν λθ λόγος τῆς ἰσότητός ἐστιν· ἴση ἄρα ἡ κλ τῇ λθ.

Hosted by Google

mithin durch Zusammenfassen $\beta\vartheta : \vartheta\delta = \gamma\varkappa : \varkappa\varepsilon$. Demnach ist auch das Verhältniss $\alpha\eta : \eta\beta$ aus $\gamma\varkappa : \varkappa\varepsilon$ und $\delta\vartheta : \vartheta\gamma$ zusammengesetzt; aus denselben Verhältnissen besteht aber das Verhältniss $\delta\lambda : \lambda\varepsilon$ und es ist $\vartheta\lambda = \lambda\varkappa$, wie nachgewiesen werden wird, folglich $\alpha\eta : \eta\beta = \delta\lambda : \lambda\varepsilon$. Nun sind $\alpha\beta$, $\delta\varepsilon$ parallel, und $\alpha\delta$, $\beta\varepsilon$ schneiden sich im Punkte $\zeta$, daher liegen die Punkte $\eta$, $\zeta$, $\lambda$ in einer geraden Linie; auch dies, obwohl es ohne Schwierigkeit ist, wird unten nachgewiesen werden. Da also $\beta\zeta : \zeta\varepsilon = \eta\zeta : \zeta\lambda$, und $\beta\zeta = 2\ \zeta\varepsilon$, so ist auch $\eta\zeta = 2\ \zeta\lambda$. Aber die Halbirung des Dreiecks $\eta\vartheta\varkappa$ geht vom Punkte $\lambda$ aus, und da $\eta\zeta = 2\,\zeta\lambda$, so ist $\zeta$ der Schwerpunkt des Dreiecks $\eta\vartheta\varkappa$, der auch, wie oben gezeigt ist, den Schwerpunkt des Dreiecks $\alpha\beta\gamma$ bildet.

Es soll jetzt dargethan werden, was [*Command. III.*] oben angenommen ist. Ist nämlich $\gamma\delta : \delta\vartheta = \gamma\varepsilon : \varepsilon\varkappa$, und zieht man $\delta\varepsilon$, $\vartheta\varkappa$ die einander im Punkte $\lambda$ schneiden, so ist $\vartheta\lambda = \varkappa\lambda$, und das Verhältniss $\delta\lambda : \lambda\varepsilon$ ist aus $\delta\vartheta : \vartheta\gamma$ und $\gamma\varkappa : \varkappa\varepsilon$ zusammengesetzt.




Man ziehe durch $\gamma$ zu $\vartheta\varkappa$ die Parallele $\gamma\zeta$, welche die verlängerte $\delta\varepsilon$ im Punkte $\zeta$ schneidet. Da die beiden Geraden $\delta\lambda$, $\lambda\varepsilon$ nach $\lambda\zeta$ verlängert sind, so besteht das Verhältniss $\delta\lambda : \lambda\varepsilon$ aus $\delta\lambda : \lambda\zeta$ und $\lambda\zeta : \varepsilon\lambda$; aber $\delta\lambda : \lambda\zeta = \delta\vartheta : \vartheta\gamma$, weil $\gamma\zeta \parallel \varkappa\vartheta$, und $\zeta\lambda : \varepsilon\lambda = \gamma\varkappa : \varkappa\varepsilon$, weil die Dreiecke $\gamma\varepsilon\zeta$, $\varepsilon\varkappa\lambda$ gleichwinklig sind; mithin ist das Verhältniss $\delta\lambda : \lambda\varepsilon$ aus $\delta\vartheta : \vartheta\gamma$ und $\gamma\varkappa : \varkappa\varepsilon$ zusammengesetzt. Auf dieselbe Weise wird gezeigt, wenn man durch $\gamma$ zu $\varepsilon\delta$ die Parallele $\gamma\mu$ zieht, welche die verlängerte $\varkappa\vartheta$ im Punkte $\mu$ schneidet, dass das Verhältniss $\varkappa\lambda : \lambda\vartheta$ aus $\varkappa\varepsilon : \varepsilon\gamma$ und $\gamma\delta : \delta\vartheta$ zusammengesetzt ist. Da nämlich die beiden Geraden $\varkappa\lambda$, $\lambda\vartheta$ nach $\lambda\mu$ verlängert sind, so besteht das Verhältniss $\varkappa\lambda : \lambda\vartheta$ aus $\varkappa\lambda : \lambda\mu$ und $\lambda\mu : \lambda\vartheta$; aber $\varkappa\lambda : \lambda\mu = \varkappa\varepsilon : \varepsilon\gamma$, weil $\varepsilon\delta \parallel \gamma\mu$, und $\lambda\mu : \lambda\vartheta = \gamma\delta : \delta\vartheta$, weil die Dreiecke $\delta\vartheta\lambda$, $\gamma\vartheta\mu$ gleichwinklig sind; demnach ist das Verhältniss $\varkappa\lambda : \lambda\vartheta$ aus $\varkappa\varepsilon : \varepsilon\gamma$ (d. h. $\delta\vartheta : \vartheta\gamma$) und $\gamma\delta : \delta\vartheta$ zusammengesetzt, welches Verhältniss ein Verhältniss der Gleichheit ist. Daher ist auch $\varkappa\lambda : \lambda\vartheta$ ein Verhältniss der Gleichheit, mithin $\varkappa\lambda = \lambda\vartheta$.

Hosted by Google

*Τὸ λοιπὸν τῶν ὑπερτεθέντων. ἔστω παράλληλος ἡ αβ τῇ γδ, καὶ ὡς ἡ αζ πρὸς ζβ οὕτως ἡ γϑ πρὸς ϑδ, καὶ ἐπεζεύχθωσαν αἱ αγ, βδ τέμνουσαι ἀλλήλας κατὰ τὸ ε σημεῖον· ὅτι ἡ διὰ τῶν ζ, ε, ϑ εὐθεῖά ἐστιν. Εἰ γὰρ μὴ, ἔστω ἡ διὰ τῶν ζ, ε, η. ἐπεὶ οὖν ἐστιν ὡς ἡ αζ πρὸς γη οὕτως ἡ ζε πρὸς εη, ὡς δὲ ἡ ζε πρὸς εη οὕτως ἡ ζβ πρὸς ηδ· ὡς ἄρα ἡ αζ πρὸς γη οὕτως ἡ ζβ πρὸς βδ, καὶ ἐναλλὰξ ὡς ἡ αζ πρὸς ζβ, τουτέστιν ὡς ἡ γϑ πρὸς ϑδ, οὕτως ἡ γη πρὸς ηδ, ὅπερ ἀδύνατον. ἡ ἄρα διὰ τῶν ζ, ε, ϑ σημείων εὐθεῖά ἐστιν.*

*Παραλληλογράμμου δοϑέντος ὀρϑογωνίου τοῦ αγ, διαγαγεῖν τὴν δγ, ὥστε τοῦ αβγδ τραπεζίου ἀρτηϑέντος ἀπὸ τοῦ δ, τὰς αδ, βγ παραλλήλους εἶναι τῷ ὁρίζοντι. Γεγονέτω· ἡ ἄρα διὰ τοῦ δ καὶ τοῦ κέντρου τοῦ βάρους τοῦ τραπεζίου ἀγομένη εὐθεῖα κάϑετος ἔσται ἐπὶ τὸν ὁρίζοντα καὶ ἐπὶ τὴν βγ. ἔστω ἡ δλ, καὶ τετμήσϑω δίχα ἡ δλ κατὰ τὸ ε καὶ [ἡ αβ κατὰ τὸ ζ, καὶ ἐπεζεύχϑω ἡ ζε], ἐπεζεύχϑω δὲ ἡ γε καὶ τετμήσϑω ἡ γε κατὰ τὸ ϑ, ὥστε διπλῆν εἶναι τὴν γϑ τῆς ϑε, καὶ ἡ εζ δίχα τετμήσϑω κατὰ τὸ η καὶ ἐπεζεύχϑω ἡ ηϑ τέμνουσα τὴν δλ κατὰ τὸ κ. τὸ μὲν ἄρα η κέντρον βάρους ἐστὶ τοῦ βδ παραλληλογράμμου, τὸ δὲ ϑ κέντρον βάρους τοῦ γδλ τριγώνου· τοῦ ἄρα ὅλου τραπεζίου τὸ κέντρον τοῦ βάρους ἐπὶ τῆς ηϑ ἐστὶν· ἀλλὰ καὶ ἐπὶ τῆς δλ, τὸ κ ἄρα κέντρον βάρους ἐστὶ τοῦ αβγδ τραπεζίου. ἀλλὰ καὶ τοῦ μὲν βδ παραλληλογράμμου τὸ η, τοῦ δὲ δλγ τριγώνου τὸ ϑ, ἔστιν ἄρ᾽ ὡς τὸ βδ παραλληλόγραμμον [πρὸς τὸ δλγ τρίγωνον οὕτως ἡ ϑκ] πρὸς τὴν κη· ἐὰν γὰρ ἀνάπαλιν ἐπινοήσωμεν τοῦ μὲν βδ παραλληλογράμμου οὕτως ἔχον τὸ βάρος ἐν ἑαυτῷ πᾶν συνῆχϑαι πρὸς τὸ η, τοῦ δὲ δλγ τριγώνου πᾶν τὸ βάρος ἐν τῷ ϑ συνῆχϑαι, γίνεται ὥσπερ ζυγὸς ἡ ηϑ, ἐκ δὲ τῶν ἄκρων τὰ εἰρημένα βάρη· καὶ ἐὰν τμηϑῇ η ηϑ κατὰ τὸ κ, ὥστε εἶναι ὡς τὸ πρὸς τῷ η βάρος πρὸς τὸ πρὸς τῷ ϑ, τουτέστι τὸ βδ παραλληλόγραμμον πρὸς τὸ γδλ τρίγωνον, οὕτω τὴν ϑκ εὐθεῖαν πρὸς τὴν κη, κατὰ τὸν ἀντιπεπονϑότα τῶν βαρῶν ἐν τοῖς ζυγοῖς λόγον, ἔσται τὸ κ σημεῖον, ἐξ οὗ τὰ βάρη ἰσορροπήσει, ὥστε*

Hosted by Google

Ausserdem ist oben noch folgendes [*Command. IV.*] angenommen worden. Ist $\alpha\beta \parallel \gamma\delta$ und $\alpha\zeta : \zeta\beta = \gamma\vartheta : \vartheta\delta$, und zieht man $\alpha\gamma$, $\beta\delta$ welche sich im Punkte $\varepsilon$ schneiden, so liegen die Punkte $\zeta$, $\varepsilon$, $\vartheta$ in einer geraden Linie.




Ist dies nicht der Fall, so mögen die Punkte $\zeta$, $\varepsilon$, $\eta$ in einer geraden Linie liegen. Da nun $\alpha\zeta : \gamma\eta = \zeta\varepsilon : \varepsilon\eta$ und $\zeta\varepsilon : \varepsilon\eta = \zeta\beta : \eta\delta$, so ist $\alpha\zeta : \gamma\eta = \zeta\beta : \eta\delta$ und verwechselt $\alpha\zeta : \zeta\beta$ (d. h. $\gamma\vartheta : \vartheta\delta$) $= \gamma\eta : \eta\delta$, was unmöglich ist. Mithin wird die durch $\zeta$, $\varepsilon$, $\vartheta$ gehende Linie eine gerade sein.

Durch das gegebene rechtwinklige Parallelogramm $\alpha\gamma$ eine Gerade $\delta\gamma$ zu ziehen, dass wenn das Paralleltrapez $\alpha\beta\gamma\delta$ im Punkte $\delta$ aufgehangen wird, die Seiten $\alpha\delta$, $\beta\gamma$ dem Horizonte parallel sind. [*Command. V.*]

Es sei geschehen. Alsdann ist die Gerade, welche durch $\delta$ und den Schwerpunkt des Trapezes gezogen wird, auf dem Horizonte und auf $\beta\gamma$ senkrecht. Sie sei $\delta\lambda$, welche in $\varepsilon$ halbirt wird; ebenso halbire man $\alpha\beta$ in $\zeta$ und ziehe $\zeta\varepsilon$; ferner ziehe man $\gamma\varepsilon$ und theile sie in $\vartheta$, so dass




$\gamma\vartheta = 2\,\vartheta\varepsilon$, halbire $\varepsilon\zeta$ in $\eta$ und ziehe $\eta\vartheta$, welche $\delta\lambda$ in $\varkappa$ schneidet. Demnach ist $\eta$ der Schwerpunkt des Parallelogramms $\beta\delta$ und $\vartheta$ der Schwerpunkt des Dreiecks $\gamma\delta\lambda$; mithin liegt der Schwerpunkt des ganzen Trapezes auf der Linie $\eta\vartheta$. Aber er liegt auch auf $\delta\lambda$, mithin ist $\varkappa$ der Schwerpunkt des Trapezes $\alpha\beta\gamma\delta$. Da nun $\eta$ der Schwerpunkt des Parallelogramms $\beta\delta$ und $\vartheta$ der des Dreiecks $\delta\lambda\gamma$, so ist

$$\#\,\beta\delta : \triangle\,\delta\lambda\gamma = \vartheta\varkappa : \varkappa\eta.$$

Denken wir uns nämlich die ganze Schwere des Parallelogramms $\beta\delta$ in $\eta$ vereinigt, ebenso die des Dreiecks $\delta\lambda\gamma$ in $\vartheta$, so ist $\eta\vartheta$ einem Wagebalken zu vergleichen, an dessen Enden die erwähnten Lasten sich befinden. Wird nun $\eta\vartheta$ in $\varkappa$ so getheilt,

καὶ τὸ αβγδ ἐκ τοῦ κ ἰσορροπήσει. ἤχθωσαν δὴ κάθετοι ἀπὸ τῶν η, ϑ ἐπὶ τὴν βγ αἱ ημ, ϑν. ἐπεὶ οὖν ἐστιν ὡς τὸ βδ παραλληλόγραμμον πρὸς τὸ γδλ τρίγωνον οὕτως ἡ ϑκ πρὸς τὴν κη· ἀλλ᾽ ὡς τὸ παραλληλόγραμμον πρὸς τὸ τρίγωνον οὕτως ἡ βλ πρὸς τὴν ἡμίσειαν τῆς λγ, ὡς δὲ ἡ κϑ πρὸς τὴν κη οὕτως ἡ νλ πρὸς τὴν λμ, διὰ τὸ εἰς παραλλήλους τὰς ημ, ελ, ϑν διῆχϑαι τὰς ηκϑ, μλν, καὶ ὡς ἄρα ἡ βλ πρὸς τὴν ἡμίσειαν τῆς λγ οὕτως ἡ νλ πρὸς τὴν λμ, ἡμίσειαν οὖσαν τῆς [βλ. ὡς ἄρα ἡ βλ πρὸς τὴν λγ][1]) οὕτως ἡ νλ πρὸς τὴν διπλασίαν τῆς μλ, τουτέστι τὴν βλ· τὸ ἄρα ἀπὸ τῆς βλ ἴσον ἐστὶ τῷ ὑπὸ γλν. ἔστιν ἄρα ὡς μὲν ἡ γλ πρὸς λβ οὕτως ἡ βλ πρὸς λν, ὡς δὲ ἡ γλ πρὸς λν οὕτω τὸ ἀπὸ τῆς γλ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς βλ τετράγωνον, καὶ τριπλῆ ἐστιν ἡ γλ τῆς λν, ἐπεὶ γὰρ ἡ γε τριπλῆ ἐστι τῆς εϑ, διπλῆ γὰρ ἡ γϑ τῆς εϑ· τριπλάσιον ἄρα τὸ ἀπὸ γλ τοῦ ἀπὸ λβ. καὶ δοϑέντα τὰ β, γ, δοϑὲν ἄρα τὸ λ, ὥστε καὶ τὸ δ. διὸ δὴ τὴν βγ τεμόντες κατὰ τὸ λ, ὥστε τὸ ἀπὸ γλ τοῦ ἀπὸ λβ εἶναι τριπλάσιον, ἔξωμεν τὸ δ τῆς ἀρτήσεως σημεῖον. [τμηϑήσεται] δὲ ἡ βγ οὕτως.

*Εὐϑεῖαν τεμεῖν ὥστε τὴν μείζονα τῆς ἐλάσσονος εἶναι δυνάμει τριπλασίαν.* Ἔστω εὐϑεῖα ἡ αδ καὶ τετμήσϑω [κατὰ] τὸ γ, ὥστε τὴν αγ τῆς γδ εἶναι τριπλῆν, καὶ ἐπὶ τῆς αδ γεγράφϑω ἡμικύκλιον τὸ αβδ, καὶ πρὸς ὀρϑὰς τῇ αδ ἀπὸ τοῦ γ ἡ βγ, καὶ πεποιήσϑω ὡς ἡ αγ πρὸς γβ οὕτως ἡ αε πρὸς δε· ὅτι ἡ αε τῆς δε δυνάμει τριπλασία ἐστίν. ἐπεὶ γὰρ ἡ βγ τῶν αγ, γδ μέση ἀνάλογόν ἐστιν, ὡς ἄρα ἡ αγ πρὸς τὴν γδ οὕτω τὸ ἀπὸ αγ πρὸς τὸ ἀπὸ βγ, τουτέστι τὸ ἀπὸ αε πρὸς τὸ ἀπὸ δε, τριπλάσιον ἄρα ἡ αε τῆς δε δυνάμει. ὁμοίως καὶ εἰς τὸν δοϑέντα λόγον δυνάμει τμηϑήσεται ἡ αδ εὐϑεῖα, καὶ πᾶσα ἡ δοϑεῖσα εὐϑεῖα.

---

[1]) Die Handschrift ist hier lückenhaft.

Hosted by Google

dass die Last in $\eta$ zu der in $\vartheta$ (d. h. $\# \beta\delta : \triangle \gamma\delta\lambda$) $= \vartheta\varkappa : \varkappa\eta$ d. h. nach dem entgegengesetzten Verhältniss der an dem Wagebalken befindlichen Lasten, so wird $\varkappa$ der Punkt sein, von welchem aus die Lasten im Gleichgewicht sind, so dass also auch das Trapez $\alpha\beta\gamma\delta$ im Punkte $\varkappa$ im Gleichgewicht ist. Man fälle nun von $\eta$, $\vartheta$ auf $\beta\gamma$ die Senkrechten $\eta\mu$, $\vartheta\nu$. Da

$\# \beta\delta : \triangle \gamma\delta\lambda = \vartheta\varkappa : \varkappa\eta$,
aber $\# \beta\delta : \triangle \gamma\delta\lambda = \beta\eta : \frac{1}{2}\lambda\gamma$,
und $\varkappa\vartheta : \varkappa\eta = \nu\lambda : \lambda\mu$, da die Parallelen $\eta\mu$, $\varepsilon\lambda$, $\vartheta\nu$ von $\eta\varkappa\vartheta$, $\mu\lambda\nu$ durchschnitten werden,
so ist $\beta\lambda : \frac{1}{2}\lambda\gamma = \nu\lambda : \lambda\mu$ $(= \frac{1}{2}\beta\lambda)$.
Daher auch $\beta\lambda : \lambda\gamma = \nu\lambda : 2\lambda\mu$ $(= \beta\lambda)$,
mithin Quadrat über $\beta\lambda$ = Rechteck $\gamma\lambda \,.\, \lambda\nu$.
Demnach ist $\gamma\lambda : \lambda\beta = \beta\lambda : \lambda\nu$,
aber $\gamma\lambda : \lambda\nu =$ Quadrat über $\gamma\lambda$ : Quadrat über $\beta\lambda$,
und da $\gamma\lambda = 3\lambda\nu$, weil $\gamma\varepsilon = 3\varepsilon\vartheta$,
so ist Quadrat über $\gamma\lambda = 3$ Quadrat über $\beta\lambda$.
Nun sind die Punkte $\beta$, $\gamma$ gegeben, mithin auch der Punkt $\lambda$, daher auch der Punkt $\delta$. Wird demnach $\beta\gamma$ im Punkte $\lambda$ so getheilt, dass Quadrat über $\gamma\lambda = 3$ Quadrat über $\beta\lambda$, so werden wir $\delta$ als Aufhängepunkt erhalten. Die Theilung von $\beta\gamma$ geschieht aber auf folgende Weise.

Eine gerade Linie so zu theilen, dass das Quadrat des grössern Theils das Dreifache des Quadrats des kleineren Theils ist. [*Command. VI.*]




Gegeben sei die Gerade $\alpha\delta$. Man theile sie in $\gamma$ so dass $\alpha\gamma = 3\gamma\delta$. Alsdann beschreibe man über $\alpha\delta$, den Halbkreis $\alpha\beta\delta$, ziehe von $\gamma$ auf $\alpha\delta$ die Senkrechte $\beta\gamma$ und mache $\alpha\gamma : \gamma\beta = \alpha\varepsilon : \delta\varepsilon$, so ist Quadrat über $\alpha\varepsilon = 3$ Quadrat über $\delta\varepsilon$. Da nämlich $\alpha\gamma : \beta\gamma = \beta\gamma : \gamma\delta$, so ist $\alpha\gamma : \gamma\delta$
$=$ Quadrat über $\alpha\gamma$ : Quadrat über $\beta\gamma$,
$=$ Quadrat über $\alpha\varepsilon$ : Quadrat über $\delta\varepsilon$,
mithin Quadratüber $\alpha\varepsilon = 3$ Quadrat über $\delta\varepsilon$.
Auf ähnliche Weise wird die Gerade $\alpha\delta$ auch nach einem andern gegebenen quadratischen Verhältniss getheilt, und ebenso jede andere Gerade.



Hosted by Google

*Θέσει ἡ αβ, αγ, καὶ δοθὲν τὸ β, καὶ διήχθω ἡ γδ ἀποτέμνουσα δοθέντα λόγον τὸν τῆς αγ πρὸς βδ· δεῖξαι ὅτι τοῦ αγδ τριγώνου τὸ κέντρον τοῦ βάρους ἐστὶ πρὸς θέσει. Καὶ τεμνέσθω ἡ αγ δίχα τῷ ε, καὶ ἐπιζευχθεῖσα ἡ δε τετμήσθω κατὰ τὸ ζ ὥστε τὴν εζ τρίτον μέρος εἶναι τῆς εδ, τὸ ζ [κέντρον ἔσται τοῦ βάρους τοῦ αγδ τριγώνου, τοῦτο γὰρ ἐδείχθη]. ἤχθω δὴ τῇ αε παράλληλος ἡ ζη, καὶ τῆς αβ τρίτον μέρος ἔστω ἡ αθ· ἔστι δὲ καὶ ἡ αη τρίτον μέρος τῆς αδ, ἐπεὶ καὶ ἡ εζ τῆς εδ· καὶ λοιπὸν οὖν ἡ θη τρίτον μέρος ἐστὶ τῆς βδ. [καὶ ὁ λόγος τῆς βδ] πρὸς τὴν αγ δοθείς, τῆς δὲ αγ πρὸς τὴν ζη, τριπλάσιον γὰρ αὐτῆς ἐστιν, ὅτι καὶ ἡ μὲν δα τῆς δη ἡμιολία ἐστὶ, τουτέστιν ἡ αε [τῆς ζη ἡμιολία, ἡ δὲ γα τῆς αε]* [1]) *διπλῆ. λόγος ἄρα καὶ τῆς ηθ πρὸς τῆν ηζ δοθείς, καὶ δοθεῖσα ἡ πρὸς τὸ η γωνία, καὶ γὰρ ἡ πρὸς τὸ α, δοθεῖσα ἄρα καὶ ἡ ηθζ γωνία, καὶ δοθὲν τὸ θ. θέσει ἄρα ἡ θζ εὐθεῖα, καὶ ἔστιν ἐπ᾽ αὐτῆς τὸ ζ κέντρον.*

*Ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα θεωρίαν ἔχει· τὰ δὲ καὶ εἰς χρείαν δυνάμενα πεσεῖν μηχανικὴν τοιαῦτα εἴη. Ἐπίπεδον ἐκκλῖναι, ὥστε τὸ κλίμα αὐτοῦ ἐφ᾽ ἓν νεύειν σημεῖον, δοθέντος ἀκλινοῦς ἐπιπέδου, τουτέστι παραλλήλου τῷ ὁρίζοντι, ἐν παραλληλογράμμῳ, τὸ δὲ κλίμα ἔστω ἐν τῇ δοθείσῃ γωνίᾳ. Ἔστι τὸ δοθὲν παραλληλόγραμμον πρότερον ἰσόπλευρον τὸ αβγδ, ἡ δὲ δοθεῖσα, ἐν ᾗ βουλόμεθα ἐκκλῖναι τὸ ἐπίπεδον, ἡ ὑπὸ εζη. ἀπὸ δὲ τῶν α, β, δ σημείων τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθὰς ἀνατετάττωσαν αἱ αθ, βκ, δλ· τὸ δὲ γ σημεῖον ἔστω ὅπου βουλόμεθα τὴν κλίσιν νεύειν. καὶ τῇ μὲν αγ ἐπιζευχθείσῃ ἴση κείσθω ἡ ζη, τῇ δὲ ζη πρὸς ὀρθὰς ἤχθω ἡ εη. τῇ δὲ ηε ἴση κείσθω ἡ αθ. ἐὰν δὲ νοήσωμεν ἐπεζευγμένην [τὴν θγ], ἔσται ἡ ὑπὸ θγα γωνία τῆς κλίσεως τῶν ἐπιπέδων. ἤχθω δὴ καὶ ἀπὸ τοῦ β ἐπὶ τὴν αγ κάθετος ἡ βμ, καὶ τῇ γμ ἴση κείθω ἡ ζν, τῇ δὲ ζη πρὸς ὀρθὰς ἤχθω ἡ νξ, τῇ δὲ νξ ἴση κείσθω ἑκατέρα τῶν βκ, δλ· καὶ ἐπιζευχθεῖσαι αἱ θλ, θκ ἐκβεβλήσθωσαν καὶ συμπιπτέτωσαν ταῖς αδ, αβ ἐκβληθείσαις*

[1]) Einschaltung von *Commandin.*

Sind die Geraden $\alpha\beta$, $\alpha\gamma$ der Lage nach und der Punkt $\beta$ gegeben, und zieht man $\gamma\delta$ welche (die Linie $\alpha\beta$) nach dem gegebenen Verhältniss von $\alpha\gamma : \beta\delta$, theilt, so ist zu zeigen, dass der Schwerpunkt des Dreiecks $\alpha\gamma\delta$ auf einer der Lage nach gegebenen Geraden liegt. [*Command. VII.*]




Man halbire $\alpha\gamma$ in $\varepsilon$, ziehe $\delta\varepsilon$ und theile sie in $\zeta$ so dass $\varepsilon\zeta = \frac{1}{3}\varepsilon\delta$, so wird, wie früher gezeigt ist, $\zeta$ der Schwerpunkt des Dreiecks $\alpha\gamma\delta$ sein. Man ziehe nun zu $\alpha\varepsilon$ die Parallele $\zeta\eta$, und es sei $\alpha\vartheta = \frac{1}{3}\alpha\beta$; es ist aber $\alpha\eta = \frac{1}{3}\alpha\delta$, da $\varepsilon\zeta = \frac{1}{3}\varepsilon\delta$, mithin $\vartheta\eta = \frac{1}{3}\beta\delta$. Nun ist das Verhältniss $\beta\delta : \alpha\gamma$ gegeben, ebenso $\alpha\gamma : \zeta\eta$, denn $\alpha\gamma = 3\zeta\eta$, weil $\delta\alpha = \frac{3}{2}\delta\eta$ d. h. $\alpha\varepsilon = \frac{3}{2}\zeta\eta$ und $\gamma\alpha = 2\alpha\varepsilon$. Mithin ist auch das Verhältniss $\eta\vartheta : \eta\zeta$ gegeben, so wie der Winkel $\eta$, weil $\angle\ \alpha$ gegeben ist, folglich ist auch $\angle\ \eta\vartheta\zeta$ gegeben, daher der Punkt $\vartheta$. Demnach ist die Gerade $\vartheta\zeta$ der Lage nach gegeben, und auf ihr liegt der Schwerpunkt $\zeta$.

Dies und ähnliches betrifft die Theorie; das Folgende dürfte auch in das Gebiet der praktischen Mechanik fallen. Eine Ebene zu neigen, so dass die Richtung der Neigung derselben durch einen Punkt geht, wenn die gegebene Ebene ohne Neigung d. h. die dem Horizonte parallele Ebene, in einem Parallelogramm und die Neigung in einem gegebenen Winkel besteht. [*Command. VIII.*]

Es sei zuerst das gegebene Parallelogramm $\alpha\beta\gamma\delta$ ein gleichseitiges, der gegebene Winkel, unter welchem wir die Ebne neigen wollen, sei $\varepsilon\zeta\eta$. Man errichte in den Punkten $\alpha$, $\beta$, $\delta$ auf der vorausgesetzten Ebene die Senkrechten $\alpha\vartheta$, $\beta\varkappa$, $\delta\lambda$, und es sei $\gamma$ der Punkt, nach welchem wir die Neigung richten wollen. Man ziehe $\alpha\gamma$, mache $\zeta\eta = \alpha\gamma$, errichte auf $\zeta\eta$ die Senkrechte $\varepsilon\eta$ und mache $\alpha\vartheta = \eta\varepsilon$. Denken wir uns nun $\vartheta\gamma$ gezogen, so wird $\angle\ \vartheta\gamma\alpha$ der Winkel der Neigung der Ebenen sein. Vom Punkte $\beta$ ziehe man nun auf $\alpha\gamma$ die Senkrechte $\beta\mu$, mache $\zeta\nu = \gamma\mu$,



Hosted by Google

κατὰ τὰ π, ρ σημεῖα· ὅτι δὲ συμπίπτουσεν, δῆλον, ἀπ' ἐλαττόνων γάρ εἰσιν δύο ὀρθῶν καὶ αὗται κἀκεῖναι. ἔσται δὴ τὸ ϑκλ ἐπίπεδον κεκλιμένον πρὸς τὸ αβγδ ἐν τῇ ὑπὸ ϑγα, τουτέστι τῇ ὑπὸ εζη· ἐὰν γὰρ νοήσωμεν τῇ αϑ παράλληλον ἠγμένην τὴν μο καὶ ἐπεζευγμένην οκ, ἔσται ἡ μὲν μο ἴση τῇ νξ, διὰ τὸ ἰσογώνιον εἶναι τὸ ζνξ τρίγωνον τῷ γμο. ἡ δὲ κο τῇ βμ ἴση καὶ παράλληλος, καὶ παραλληλόγραμμον τὸ κβμο ὀρθὸν πρὸς ὑποκείμενον. καὶ ἐπεὶ τὰ π, ρ, γ σημεῖα ἐν δυσὶν ἅμα ἐπιπέδοις ἐστὶ τῷ τε ὑποκειμένῳ αβγδ, ἐν ᾧ ἐστι καὶ τὰ π, ρ σημεῖα, ἀλλὰ καὶ ἐν τῷ κϑλγ, τὰ π, γ, ρ ἄρα σημεῖα ἐπὶ μιᾶς ἐστιν εὐθείας τῆς πγρ, κοινῆς τομῆς οὔσης τῶν εἰρημένων ἐπιπέδων. διὰ ταὐτα δὴ καὶ τὰ κ, ο, λ σημεῖα ἐπὶ τῆς κοινῆς ἐστι τομῆς τοῦ κϑλγ ἐπιπέδου καὶ τοῦ διὰ τῶν κο, λο παραλλήλων τῷ αβγδ ἐπιπέδῳ, ὥστε τὴν διὰ τῶν κ, ο, λ εὐθεῖαν παράλληλον εἶναι τῇ πρ. ἐπεὶ οὖν ἐστιν ὡς μὲν ἡ απ πρὸς πδ οὕτως ἡ ϑα πρὸς λδ, ὡς δὲ ἡ αρ πρὸς ρβ οὕτως ἡ αϑ πρὸς βκ, καὶ ἴση ἐστὶν ἡ δλ τῇ βκ, ἴση ἄρα καὶ ἡ απ τῇ αρ, καὶ γωνία ὑπὸ απρ τῇ ὑπὸ αρπ, ἔστι δὲ καὶ ἡ ὑπὸ παγ ἴση τῇ ὑπὸ ραγ, λοιπὴ ἄρα ἡ ὑπὸ αγπ τῇ ὑπὸ αγρ· ὀρθὴ ἄρα ἐστὶν ἑκατέρα αὐτῶν καὶ ἡ πρ εὐθεῖα δίχα τε καὶ πρὸς ὀρθὰς τέμνεται ὑπὸ τῆς αγ. καὶ ἔστιν αὐτῇ πρὸς ὀρθὰς καὶ τῷ αβγδ ἐπιπέδῳ ἡ μο, καὶ ἡ ογ ἄρα πρὸς ὀρθὰς ἐστὶ τῇ ρπ διὰ λῆμμα σφαιρικῶν. ὀρθὴ ἄρα ἐστὶν ἑκατέρα τῶν ὑπὸ αγπ, ογπ· τὸ κϑλγ ἄρα ἐπίπεδον κέκλιται πρὸς τὸ ἀπὸ αβγδ ἐν τῇ δοθείσῃ γωνίᾳ τῇ ὑπὸ ἐζη. ἀλλὰ δὴ ἔστω μείζων ἡ αβ τῆς αδ, τῶν ἄλλων ὑποκειμένων τῶν αὐτῶν· λέγω ὅτι ἡ ὑπὸ αγπ ὀξεῖά ἐστιν. ἐπεὶ γάρ ἐστιν ὡς μὲν ἡ απ πρὸς πδ οὕτως ἡ αϑ πρὸς δλ, ὡς δὲ ἡ αρ πρὸς ρβ οὕτως ἡ αϑ πρὸς βκ, καὶ ἴση ἐστὶν ἡ δλ τῇ βκ, καὶ ὡς ἄρα ἡ απ πρὸς πδ οὕτως ἡ αρ πρὸς ρβ. καὶ διελόντι ἄρα ἐστὶν ὡς ἡ αδ πρὸς δπ οὕτως ἡ αβ πρὸς βρ, καὶ ἐναλλὰξ ὡς ἡ αδ πρὸς αβ οὕτως ἡ δπ πρὸς βρ. ἐλάττων δὲ ἡ αδ τῆς αβ, ἐλάττων ἄρα καὶ ἡ δπ τῆς βρ, ὅλη ἄρα ἡ απ ἐλάττων ἐστὶ τῆς αρ, ὥστε καὶ γωνία ἡ ὑπὸ αρπ ἐλάσσων ἐστὶ τῆς ὑπὸ απρ, μείζων ἄρα ἡ ὑπὸ απρ τῆς ὑπὸ αρπ. ἔστι δὲ καὶ ἡ ὑπὸ γαπ τῆς ὑπὸ γαρ μείζων, λοιπὴ ἄρα ἡ ὑπὸ αγπ τοῦ αγπ τριγώνου λοιπῆς τῆς ὑπὸ αγρ τοῦ αγρ τριγώνου ἐλάσσων ἐστίν· ὀξεῖα ἄρα ἡ ὑπὸ αγπ γωνία. ἡ κλίσις ἄρα τῶν εἰρημένων ἐπιπέδων πρὸς τὸ σημεῖον μεταξὺ τῶν

Hosted by Google

ziehe auf $\zeta\eta$ die Senkrechte $\nu\xi$ und mache $\beta\varkappa = \delta\lambda = \nu\xi$; ferner




ziehe man noch $\vartheta\lambda$, $\vartheta\varkappa$ und verlängere sie bis sie mit den verlängerten $\alpha\delta$, $\alpha\beta$ in den Punkten $\pi$, $\varrho$ zusammentreffen, dies findet offenbar statt, da sie Winkel bilden die kleiner als 2 R sind. Nun ist die Ebene $\vartheta\varkappa\lambda$ zu der Ebene $\alpha\beta\gamma\delta$ unter dem Winkel $\vartheta\gamma\alpha = \varepsilon\zeta\eta$ geneigt, denn denken wir uns $\mu o \parallel \alpha\vartheta$ gezogen und $o\varkappa$ verbunden, so ist $\mu o = \nu\xi$, weil die Dreiecke $\zeta\nu\xi$, $\gamma\mu o$ gleichwinklig sind; es ist aber $\varkappa o =$ und $\parallel \beta\mu$, mithin steht das Parallelogramm $\varkappa\beta\mu o$ auf der angenommenen Ebene senkrecht. Da nun die Punkte $\pi$, $\varrho$, $\gamma$ in zwei Ebenen zugleich liegen, nämlich in der angenommenen $\alpha\beta\gamma\delta$, in welcher die Punkte $\pi$, $\varrho$ liegen, und in der Ebene $\varkappa\vartheta\lambda\gamma$, so werden die Punkte $\pi$, $\gamma$, $\varrho$ in einer Geraden $\pi\gamma\varrho$ liegen, die der gemeinsame Durchschnitt der genannten Ebenen ist. Aus demselben Grunde liegen auch die Punkte $\varkappa$, $o$, $\lambda$ auf dem gemeinsamen Durchschnitt der Ebene $\varkappa\vartheta\lambda\gamma$ und derjenigen, die durch die zu der Ebene $\alpha\beta\gamma\delta$ Parallelen $\varkappa o$, $\lambda o$ gelegt ist, so dass die durch die Punkte $\varkappa$, $o$, $\lambda$ gehende Gerade der $\pi\varrho$ parallel ist. Da nun

Hosted by Google

γ, π θεωρεῖται, ἀπὸ τοῦ α σημείου ἐπὶ τὴν γπ καθέτου ἀγομένης. ὡς οὖν ἐκκλῖναι δύνατόν ἐστιν ἐπίπεδον, δύνατόν ἐστιν ἄρα καὶ ἐκκεκλιμένου τὴν κλίσίν εἰπεῖν, τουτέστιν ἐν ποίᾳ γωνίᾳ κέκλιται τὸ ἐπίπεδον πρὸς τὸ παράλληλον τῷ ὁρίζοντι.

Βάρους δοθέντος ὑπὸ δοθείσης ἀγομένου δυνάμεως ἐν τῷ παρὰ τὴν ὁρίζοντα ἐπιπέδῳ καὶ ἑτέρου ἐπιπέδου κεκλιμένου πρὸς τὸ ὑποκείμενον δοθεῖσαν γωνίαν ὑποτεθέντος, εὑρεῖν τὴν δύναμιν ὑφ' ὅσης ἀχθήσεται τὸ βάρος τὸ ἐν τῷ κεκλιμένῳ ἐπιπέδῳ. Ἔστω τὸ μὲν διὰ τῆς μν εὐθείας ἐπίπεδον τὸ ὑποκείμενον, τὸ δὲ διὰ τῆς μκ κεκλίμενον πρὸς αὐτὸ γωνίαν δοθεῖσαν τὴν ὑπὸ κμν· βάρος δέ τι τὸ α κινείσθω ὑπὸ δυνάμεως τῆς γ ἐπὶ τοῦ ὑποκειμένου ἐπιπέδου. καὶ νοείσθω τὸ α ἰσοβαρὴς σφαῖρα ἡ περὶ κέντρον τὸ ε, καὶ κείσθω ἐπὶ τοῦ διὰ τῶν μ, κ ἐπιπέδου ψαύουσα αὐτοῦ κατὰ τὸ λ σημεῖον, ὡς ἐστι σφαιρικῶν β̄ θεωρήματι. ἡ ἄρα ἡ ελ ἐπιζευχθεῖσα κάθετος ἔσται ἐπὶ τὸ ἐπίπεδον, καὶ τοῦτο γὰρ δέδεικται θεωρήματι δ̄ σφαιρικῶν, ὥστε καὶ πρὸς τὴν κμ κά-

Hosted by Google

$$\alpha\pi : \pi\delta = \vartheta\alpha : \lambda\delta$$
$$\text{und } \alpha\varrho : \varrho\beta = \alpha\vartheta : \beta\varkappa$$
$$\text{und } \delta\lambda = \beta\varkappa,$$
$$\text{so ist auch } \alpha\pi = \alpha\varrho$$
$$\text{und } \angle\, \alpha\pi\varrho = \angle\, \alpha\varrho\pi;$$
$$\text{es ist aber auch } \angle\, \pi\alpha\gamma = \angle\, \varrho\alpha\gamma$$
$$\text{folglich } \angle\, \alpha\gamma\pi = \angle\, \alpha\gamma\varrho,$$

mithin ein jeder derselben = R, und es wird die Linie $\pi\varrho$ von $\alpha\gamma$ halbirt und die letztere steht auf ihr senkrecht. Es ist aber auch $\mu o$ auf $\alpha\gamma$ und auf der Ebene $\alpha\beta\gamma\delta$ senkrecht, daher steht auch nach einem Lemma der Sphärik $o\gamma$ auf $\varrho\pi$ senkrecht; folglich ist ein jeder der Winkel $\alpha\gamma\pi$, $o\gamma\pi$ = R. Demnach ist die Ebene $\varkappa\vartheta\lambda\gamma$ zu der Ebene $\alpha\beta\gamma\delta$ unter dem gegebenen Winkel $\varepsilon\zeta\eta$ geneigt. — Es sei nun, unter der Bedingung dass alles andere unverändert bleibt, $\alpha\beta > \alpha\delta$, so soll der Winkel $\alpha\gamma\pi < $ R sein. Da nämlich $\alpha\pi : \alpha\delta = \alpha\vartheta : \delta\lambda$, und $\alpha\varrho : \varrho\beta = \alpha\vartheta : \beta\varkappa$ und $\delta\lambda = \beta\varkappa$, so ist auch $\alpha\pi : \pi\delta = \alpha\varrho : \varrho\beta$, mithin $\alpha\delta : \pi\delta = \alpha\beta : \varrho\beta$ oder $\alpha\delta : \alpha\beta = \pi\delta : \varrho\beta$. Aber $\alpha\delta < \alpha\beta$, folglich auch $\pi\delta < \varrho\beta$, und $\alpha\pi < \alpha\varrho$, daher $\angle\, \alpha\varrho\pi < \angle\, \alpha\pi\varrho$ oder $\angle\, \alpha\pi\varrho > \angle\, \alpha\varrho\pi$. Es ist aber auch $\angle\, \gamma\alpha\pi > \angle\, \gamma\alpha\varrho$, mithin $\angle\, \alpha\gamma\pi > \angle\, \alpha\gamma\varrho$, demnach $\angle\, \alpha\gamma\pi <$ R. Demnach wird die Neigung der genannten Ebenen nach einem Punkt zwischen $\gamma$, $\pi$ untersucht, wenn man von dem Punkt $\alpha$ auf $\gamma\pi$ eine Senkrechte fällt. Wie es nun möglich ist eine Ebene zu neigen, so ist es auch möglich die Neigung einer geneigten Ebene zu finden, d. h. unter welchem Winkel die Ebene zu der zum Horizont parallelen Ebene geneigt ist.

Wenn eine gegebene Last von einer [*Command. IX.*] gegebenen Kraft auf einer zum Horizont parallelen Ebene bewegt wird und eine andere Ebene unter einem gegebenen Winkel gegen die erstere geneigt ist, die Kraft zu finden, durch welche die Last auf der geneigten Ebene bewegt wird. Die erstere Ebene gehe durch die Gerade $\mu\nu$, die unter dem gegebenen Winkel $\varkappa\mu\nu$ gegen dieselbe geneigte Ebene durch die Gerade $\mu\varkappa$; irgend eine Last $\alpha$ werde von der Kraft $\gamma$ auf der ersteren Ebene bewegt. Man denke sich die Last $\alpha$ als eine gleich schwere Kugel mit dem Mittelpunkt $\varepsilon$ auf der Ebene $\mu\varkappa$ liegend und sie im Punkte $\lambda$ berührend, nach dem zweiten Theorem der Sphärik. Demnach steht $\varepsilon\lambda$ auf der Ebene senkrecht, wie es im vierten Theorem der Sphärik bewiesen ist, daher ist auch $\varepsilon\lambda$ auf der Linie $\varkappa\mu$ senkrecht. Man erweitere

Hosted by Google

ϑετός ἐστιν ἡ ελ. ἐκβεβλήσϑω τὸ διὰ τῶν κμ, ελ ἐπίπεδον καὶ ποιείτω τομὴν ἐν τῇ σφαίρᾳ κύκλον τὸν ληξ, καὶ ἤχϑω διὰ τοῦ ε κέντρου τῇ μν παράλληλος ἡ εϑ, καὶ κάϑετος ἐπ᾽ αὐτὴν ἀπὸ τοῦ λ ἡ λζ. ἐπεὶ οὖν δοϑεῖσά ἐστιν ἡ ὑπὸ εϑλ γωνία, ἴση γάρ ἐστι τῇ ὑπὸ κμν δοϑείσῃ ὀξείᾳ γωνίᾳ, δοϑεῖσα ἄρα καὶ ἡ ὑπὸ ελζ, ἴση οὖσα τῇ ὑπὸ εϑλ, ἰσογώνιον γάρ ἐστι τὸ εϑλ τῷ ελζ τριγώνῳ, δοϑὲν ἄρα τὸ ελζ τρίγωνον τῷ εἴδει. λόγος ἄρα τῆς ελ, τουτέστι τῆς εη, πρὸς εζ δοϑείς, καὶ λοιπῆς ἄρα τῆς ηζ πρὸς εζ λόγος ἐστὶ δοϑείς. πεποιήσϑω οὖν ἡ ηζ πρὸς ζε οὕτω τὸ μὲν α βάρος πρὸς τὸ β, ἡ δὲ γ δύναμις πρὸς τὴν δ· καὶ ἔστι τοῦ α δύναμις ἡ γ, καὶ τοῦ β ἄρα δύναμις ἐν τῷ αὐτῷ ἐπιπέδῳ ἔσται ἡ δ. καὶ ἐπεί ἐστιν ὡς ἡ ηζ εὐϑεῖα πρὸς τὴν ζε οὕτω τὸ α βάρος πρὸς τὸ β, ἂν τεϑῇ τὰ α, β βάρη περὶ κέντρα βάρη τὰ ε, η, ἰσορροπήσει ἀρτώμενα ἀπὸ τοῦ ζ σημείου ᾗ ἐπὶ ὑποθέματος κείμενα τοῦ λζ ὀρϑοῦ πρὸς τὸν ὁρίζοντα. κεῖται δὲ τὸ α βάρος περὶ κέντρον τὸ ε, ἀντ᾽ αὐτοῦ γὰρ ἡ σφαῖρα, τεϑὲν ἄρα τὸ β βάρος περὶ κέντρον τὸ η ἰσορροπήσει τῇ σφαίρᾳ, ὥστε μὴ καταφέρεσϑαι τὴν σφαῖραν διὰ τὴν κλίσιν τοῦ ἐπιπέδου, ἀλλ᾽ ἐφεστάναι ἀρρεπῆ, ὡς εἰ καὶ ὑπὸ τοῦ ὑποκειμένου ἑστῶσα ἐτύγχανεν. ἐκινεῖτο δὲ ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ ὑπὸ τῆς γ δυνάμεως, κινηϑήσεται ἄρα ἐν τῷ κεκλιμένῳ ἐπιπέδῳ πρὸς συναμφοτέρου τῆς τε γ δυνάμεως καὶ τῆς τοῦ β βάρους, τουτέστι τῆς δ δυνάμεως· καὶ ἔστι δοϑεῖσα ἡ δ δύναμις. ἡ μὲν οὖν γεωμετρικὴ τοῦ τε προβλήματος ἀνάλυσις ὑποδέδεικται· ἵνα δὲ καὶ ἐπὶ παραδείγματος ποιησώμεϑα τήν τε κατασκευὴν καὶ τὴν ἀπόδειξιν, ἔστω τὸ μὲν α βάρος ταλάντων εἰ τύχοι σ̄ ἀγόμενον ἐν τῷ παραλλήλῳ ὁρίζοντι ἐπιπέδῳ ὑπὸ τῆς γ κινούσης δυνάμεως, τουτέστι οἱ κινοῦντες ἔστωσαν ἄνδρες μ̄, ἡ δὲ ὑπὸ κμν γωνία, τουτέστιν ἡ ὑπὸ εϑλ, δεμοίρου ὀρϑῆς, καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ζλϑ τρίτον ὀρϑῆς, καὶ ἔστιν ὀρϑὴ ἡ ὑπὸ ελϑ, διμοίρου ἄρα καὶ ἡ ὑπὸ ελζ. οἵων ἄρα αἱ δ̄ ὀρϑαὶ τ̄ξ̄, τούτων λ̄κ̄ ἡ ὑπὸ ελζ, οἵων δέ αἱ β̄ ὀρϑαὶ τ̄ξ̄, τούτων ρ̄κ̄. καὶ τοῦ περιγραφομένου ἄρα περὶ τὸ εζλ τρίγωνον ὀρϑογώνιον κύκλου, ἡ μὲν ἐπὶ τῆς εζ τοιούτων ἔσται ρ̄δ̄ οἵων ὁ κύκλος τ̄ξ̄, αὐτὴ δὲ ἡ εζ τοιούτων ρ̄κ̄ ἐγγίστα οἵων ελ τοῦ κύκλου διάμετρος ρ̄κ̄, ταῦτα γὰρ δῆλα ἐκ τοῦ κανόνος τῶν ἐγκυκλίων εὐϑειῶν τῶν κατὰ Πτολεμαῖον, ὄντος κειμένου δ᾽ ἐν τῷ ᾱ τῶν μαϑηματικῶν. λόγος ἄρα τῆς ελ, τουτέστι τῆς εη, πρὸς εζ, ὃν ρ̄κ̄ πρὸς ρ̄δ̄,

Hosted by Google

die durch $\varkappa\mu$, $\varepsilon\lambda$ gelegte Ebene, welche die Kugel in dem Kreise




$\lambda\nu\xi$ schneidet, und ziehe durch den Mittelpunkt $\varepsilon$ zu $\mu\nu$ die Parallele $\varepsilon\vartheta$, und fälle auf sie von $\lambda$ die Senkrechte $\lambda\zeta$. Da nun der Winkel $\varepsilon\vartheta\lambda$ gegeben, denn er ist dem gegebenen spitzen Winkel $\varkappa\mu\nu$ gleich, so ist auch Winkel $\varepsilon\lambda\zeta$ gegeben, da er dem Winkel $\varepsilon\vartheta\lambda$ gleich ist, indem die Dreiecke $\varepsilon\vartheta\lambda$, $\varepsilon\lambda\zeta$ gleichwinklig sind; mithin ist $\triangle\ \varepsilon\lambda\zeta$ der Form nach gegeben, folglich ist das Verhältniss $\varepsilon\lambda$ d. h. $\varepsilon\eta : \varepsilon\zeta$ gegeben, mithin ist auch das Verhältniss $\eta\zeta : \varepsilon\zeta$ gegeben. Man mache nun $\eta\zeta : \zeta\varepsilon =$ Last $\alpha$ : Last $\beta =$ Kraft $\gamma$ : Kraft $\delta$; es ist aber die zur Last $\alpha$ gehörige Kraft $\gamma$, mithin wird die zur Last $\beta$ gehörige Kraft für dieselbe Ebene $\delta$ sein. Weil aber $\eta\zeta : \zeta\varepsilon =$ Last $\alpha$ : Last $\beta$, so werden, falls man die Lasten $\alpha$, $\beta$ um die schweren Mittelpunkte $\varepsilon$, $\eta$ annimmt, diese im Punkt $\zeta$ aufgehangen, der die auf dem Horizonte Senkrechte $\lambda\zeta$ zur Stütze hat, im Gleichgewicht sein. Es ist aber die Last $\alpha$ um den Mittelpunkt $\varepsilon$, denn an ihre Stelle ist die Kugel getreten, mithin wird die um den Mittelpunkt $\eta$ angenommene Last $\beta$ mit der Kugel in Gleichgewicht sein, so dass die Kugel auf der geneigten Ebene nicht herabrollt, sondern ruhig liegen bleibt, als ob sie auf der horizontalen Ebene stände. Sie wurde nun auf der horizontalen Ebene von der Kraft $\gamma$ bewegt, sie wird also auf der geneigten Ebene von beiden zusammen, nämlich von der Kraft $\gamma$ und von der Last $\beta$ d. h. von der Kraft $\delta$ bewegt werden; die Kraft $\delta$ ist aber gegeben. Dies ist die geometrische Analysis des Problems; wir wollen nun auch an einem Beispiel die Construction und den Beweis zeigen. Es sei die Last

Hosted by Google

καὶ λοιπῆς ἄρα τῆς ζη πρὸς ζε λόγος ὃν ις πρὸς ρδ. τοῦτο μὲν ὁ αὐτός ἐστι ὁ τοῦ α βάρους πρὸς τὸ β, καὶ τῆς γ δυνάμεως πρὸς τὴν δ, καὶ ἔστι τὸ μὲν α βάρος ταλάντων σ, ἡ δὲ κινοῦσα δύναμις ἀνδρῶν μ· ἔσται ἄρα καὶ τὸ μὲν β βάρος ταλάντων ,ατ, ἡ δὲ δ δύναμις ἀνθρώπων σξ, ὡς γὰρ ις πρὸς ἑκατὸν τέσσαρα οὕτως σ πρὸς ,ατ καὶ μ πρὸς σξ. τοῦ ἄρα πρώτου βάρους ταλάντων σ κινουμένου ἐν παραλλήλῳ τῷ ὁρίζοντι ἐπιπέδῳ ὑπὸ τῶν μ ἀνδρῶν, τὸ αὐτὸ βάρος κινηθήσεται ὑπὸ συναμφοτέρων τῶν προειρημένων ἀνθρώπων, τουτέστιν ὑπὸ τῶν ὅλων, ἐν ἐπιπέδῳ κεκλιμένῳ πρὸς τὸν ὁρίζοντα, τὴν ὑπὸ κμν γωνίαν διμοίρου ὀρθῆς ὑποκειμένην.

Τῆς αὐτῆς δέ ἐστι θεωρίας, τὸ δοθὲν βάρος τῇ δοθείσῃ δυνάμει κινῆσαι· τοῦτο γὰρ Ἀρχιμήδους μὲν [1]) εὕρημα λέγεται μηχανικόν, ἐφ' ᾧ [2]) λέγεται εἰρηκέναι· δός μοί φησι ποῦ στῶ καὶ κινῶ τὴν γῆν. Ἥρων δὲ ὁ Ἀλεξανδρεὺς πάνυ σαφῶς τὴν κατασκευὴν αὐτοῦ ἐξέθετο ἐν τῷ καλουμένῳ βαρουλκῷ, λῆμμα λαβὼν ὅπερ ἐν τοῖς μηχανικοῖς ἀπέδειξεν· ἔνθα καὶ περὶ τῶν πέντε δυνάμεων διαλαμβάνει, τουτέστι τοῦ τε σφηνὸς καὶ μοχλοῦ καὶ κοχλίου καὶ πολυσπάστου καὶ ἄξονος ἐν τῷ περιτροχίῳ, δι' ὧν [3]) τὸ δοθὲν τῇ δυνάμει κινεῖται καθ' ἑκάστην δύναμιν. ἐν δὲ τῷ βαρουλκῷ διὰ τυμπάνων ὀδοντωτῶν παραθέσεως ἐκίνει τὸ [4]) δοθὲν βάρος τῇ δοθείσῃ δυνάμει, τῆς διαμέτρου τυμπάνου πρὸς τὴν διάμετρον τοῦ ἄξονος λόγον ἐχούσης ὃν ε πρὸς ἕνα, τοῦ κινουμένου

---

[1]) Die Hdsch. hat μ.

[2]) Die Hdsch. hat ἐφ' ὧν.

[3]) Die Hdsch hat περὶ τροχιωδιῶν

[4]) Die Hdsch. hat ἐκινεῖτο.

Hosted by Google

z. B. 200 Talente schwer und sie werde auf der zum Horizont parallelen Ebene von der bewegenden Kraft $\gamma$ gezogen, d. h. 40 Männer vermögen sie zu bewegen; der Winkl $\varkappa\mu\nu = \angle\ \varepsilon\delta\lambda = \frac{2}{3}$ R, mithin $\angle\ \zeta\lambda\vartheta = \frac{1}{3}$ R; es ist aber $\varepsilon\lambda\vartheta$ = R, folglich auch $\angle$ $\varepsilon\lambda\zeta = \frac{2}{3}$ R. Von den 360 Theilen, die auf 4 R kommen, enthält demnach der Winkel $\varepsilon\lambda\zeta$ 60; von den 360 Theilen aber, die auf 2 R kommen, enthält er 120. Beschreibt man nun um das rechtwinklige Dreieck $\varepsilon\zeta\lambda$ einen Kreis, so werden von den 360 Theilen die auf den ganzen Kreis kommen, 120 auf den Bogen über $\varepsilon\zeta$ fallen; die Linie $\varepsilon\zeta$ selbst wird sehr nahe 104 von den Theilen enthalten, wovon 120 auf den Durchmesser $\varepsilon\lambda$ des Kreises gehen, wie dies aus Ptolomäus' Kanon der Sehnen in dem ersten Buche der mathematischen Schriften erhellt. Demnach ist $\varepsilon\lambda$ d. h. $\varepsilon\eta : \varepsilon\zeta = 120 : 104$, mithin $\zeta\eta : \varepsilon\zeta = 16 : 104$. Dies ist aber dasselbe Verhältniss, in welchem die Last $\alpha$ zur Last $\beta$ und die Kraft $\gamma$ zur Kraft $\delta$ steht; nun ist die Last $\alpha$ 200 Talente schwer und die bewegende Kraft sind 40 Männer, mithin wird die Last $\beta$ 1300 Talente schwer sein und die Kraft $\delta$ = 260 Männern, denn es ist $16 : 104 = 200 : 1300 = 40 : 260$. Wird also die Last von 200 Talenten auf der horizontalen Ebene von 40 Männern bewegt, so wird dieselbe Last von allen Männern zusammen auf der gegen den Horizont unter dem Winkel $\varkappa\mu\nu = \frac{2}{3}$ R geneigten Ebene bewegt werden.

Durch dieselbe Betrachtung lässt sich [*Command. X.*] die Aufgabe lösen: eine gegebene Last durch eine gegebene Kraft zu bewegen. Es ist dies die Erfindung Archimed's in der Mechanik, wobei er gesagt haben soll: Gieb mir einen Standpunkt und ich bewege die Erde. Hero von Alexandrien hat die Construktion davon in dem sogenannten Barulkon sehr deutlich auseinander gesetzt mit Hülfe eines Lehrsatzes, den er in der Mechanik bewiesen; daselbst handelt er auch über die fünf Kraftmaschinen, über den Keil, Hebel, über die Schraube, über den Flaschenzug, über die Welle mit dem Rade, durch welche die gegebene Last durch die gegebene Kraft mit Hülfe einer jeden Kraftmaschine bewegt wird. In dem Barulkon bewegte er die gegebene Last durch die gegebene Kraft mittelst gezahnter Scheiben unter der Annahme dass der

Hosted by Google

βάρους ταλάντων [χιλίων, τῆς δὲ κινούσης δυνάμεως ὑποκειμένης][1] ταλάντων $\overline{\varepsilon}$· ἔστω δὴ ἡμῖν ἐπὶ διπλασίου λόγου τὸ αὐτὸ δεικνύναι, καὶ ταλάντων ρξ̄ ὄντος τοῦ κινουμένου βάρους ἀντὶ χιλίων, καὶ τῆς κινούσης αὐτὸ δυνάμεως ὑποκειμένης ταλάντων $\overline{\delta}$ ἀντὶ $\overline{\varepsilon}$, τουτέστι ὁ κινῶν ἄνθρωπος δυνάσθω καθ' αὑτὸν ἀνευ μηχανῆς ἕλκειν τάλαντα $\overline{\delta}$. καὶ ἔστω τὸ εἰρημένον ὑπ' αὐτοῦ γλωσσόκομον τὸ αβγδ καὶ ἐν αὐτῷ εἰς τοὺς μακροὺς καὶ παραλλήλους τοίχους ἔστω ἄξων αὐτοῖς εὐλύτως στρεφόμενος ὁ εζ. τούτῳ[2] δὲ συμφυὲς ἔστω τύμπανον ὠδοντωμένον ἀκτῖσιν ὀδοντωτοῖς τὸ ηθ ἔχον τὴν διάμετρον διπλασίαν τῆς διαμέτρου τῆς εζ διαγωνίου τοῦ ἄξονος τοῦ κατὰ κράταφον. γίνεται γὰρ τετράγωνος μὲν περὶ μέσον ἐπὶ τοσοῦτον μῆκος, ὅσον ἐστὶ τὸ πάχος τοῦ τυμπάνου εἰς ὃ ἐναρμόζεται ἀσφαλῶς. στρογγύλος δέ πως ἢ λελωβημένος ἐκ τῶν ἐφ' ἑκάτερα τοῦ τυμπάνου μερῶν. ἐὰν ἄρα τὰ ἐκ τοῦ βάρους τοῦ ἑλκομένου δεδεμένα σχοινία, καλούμενα δὲ ὅπλα, διά τινος ὀπῆς, μᾶλλον δὲ ἀνατομῆς πλατείας οὔσης ἐν τῷ αβ τοίχῳ ἐπειληθῇ περὶ τὸν εζ ἄξονα ἐφ' ἑκάτερα τοῦ ηθ τυμπάνου καὶ στραφῇ τὸ ηθ τύμπανον, καὶ τὸ ἐπιστρέψει καὶ τὸν συμφυῆ ἄξονα κινούμενον περὶ τὰ ἄκρα ἐν δακτύλοις χαλκοῖς καὶ πυξίσιν ὁμοίως χαλκαῖς κινουμένοις, κειμέναις δ' ἐν τοῖς εἰρημένοις αβ, γδ τείχοις· ἐπειλούμενα δὲ τὰ ἐκ τοῦ βάρους ὁ καλεῖται φορτίον ὅπλα κινήσει τὸ βάρος, ἵνα δὲ κινηθῇ τὸ ηθ τύμπανον, δεήσει δύναμιν παρασχεῖν ταλάντων πλεῖον $\overline{\pi}$[3] διὰ τὸ τὴν διάμετρον τοῦ τυμπάνου τῆς διαμέτρου τοῦ ἄξονος εἶναι διπλασίαν· τοῦτο γὰρ πρόβλημά ἐστιν ὑπὸ Ἥρωνος δεικνύμενον ἐν τοῖς μηχανικοῖς, καὶ ἄλλα πλεῖστα προβλήματα τῶν χρησιμωτάτων καὶ βιωφελῶν γέγραπται. ἐπεὶ οὖν οὐκ ἔχομεν τὴν δοθεῖσαν δύναμιν ταλάντων $\overline{\pi}$, ἀλλὰ ταλάντων $\overline{\delta}$, γεγονέτω ἕτερος ἄξων παρακείμενος παράλληλος τῇ εζ ὁ κλ, ἔχων συμφυὲς τύμπανον ὠδοντωμένον τὸ μν, ὥστε τοὺς ὀδόντας αὐτοῦ ἐναρμόζειν τοῖς ὀδοῦσι τοῦ ηθ τυμπάνου. τοῦτο δὲ γίνεται, ἐὰν ᾖ ὡς ἡ διάμετρος τοῦ τυμπάνου πρὸς τὴν διάμετρον τοῦ μν οὕτω τὸ πλῆθος τῶν ὀδόντων τοῦ ηθ πρὸς τὸ πλῆθος τῶν ὀδόντων τοῦ μν. πῶς

---

[1]) Einschaltung von *Commandin*.

[2]) Die Hdsch. haben τοῦτο.

[3]) Hdsch. hat πλεῖον ἢ.

Hosted by Google

Durchmesser der Scheibe zum Durchmesser der Axe in dem Verhältniss von 5 : 1 steht, die bewegte Last 1000 Talente schwer und die bewegende Kraft gleich 5 Talenten ist. Es sei uns gestattet, eben dasselbe in dem Verhältniss von 2 : 1 zu zeigen, dass ferner die bewegte Last 160 Talente schwer anstatt 1000, und die bewegende Kraft = 4 Talenten anstatt 5 angenommen wird, d. h. dass der Mensch ohne Maschine 4 Talente ziehen könne.




Es sei $\alpha\beta\gamma\delta$ eine Vorrichtung die er Futteral nennt, und in derselben sei an den langen parallelen Wänden eine sich leicht drehende Welle $\varepsilon\zeta$; mit dieser sei fest verbunden die Scheibe $\eta\vartheta$, die mit Zähnen Strahlen gleich versehen und deren Durchmesser das Doppelte des Durchmessers der Welle $\varepsilon\zeta$ am Ende derselben genommen gleich ist, die Welle wird nämlich viereckig gegen die Mitte hin auf eine solche Länge, als die Dicke der Scheibe ist, in welche sie fest eingefügt ist; sie ist aber so ziemlich rund oder verjüngt auf beiden Seiten der Scheibe. Wenn nun die an der zu hebenden Last befestigten Taue, welche $\ddot{o}\pi\lambda\alpha$ (Waffen) genannt werden, durch eine Oeffnung oder vielmehr durch einen breiten

Hosted by Google

δὲ τοῦτο γίνεται, διὰ τῶν ἑξῆς δῆλον ἔσται. δοθὲν μὲν ἄρα ἐστὶ καὶ τὸ μν τύμπανον· τῷ αὐτῷ ἄξονι τῷ κλ συμφυὲς ἔστω τύμπανον τὸ ξο, ἔχον τὴν διάμετρον διπλασίαν τῆς τοῦ μν τυμπάνου διαμέτρου. διὰ δὴ τοῦτο δεήσει τὸν βουλόμενον κινεῖν διὰ τοῦ ξο τυμπάνου τὸ βάρος ἔχειν δύναμιν ταλάντων $\overline{\mu}$, ἐπειδήπερ τὰ $\overline{\pi}$ τάλαντα διπλάσιά ἐστι τῶν $\overline{\mu}$ ταλάντων. πάλιν δὲ παρακείσθω τῷ ξο τυμπάνῳ ὀδοντωθέντι ἕτερον τύμπανον ὠδοντωμένον τὸ πρ συμφυὲς [ἑτέρῳ ἄξονι καὶ τῷ αὐτῷ ἄξονι συμφυὲς ἔστω ἕτερον τύμπανον] στ, ἔχον μὲν ὁμοίως διπλασίαν τὴν διάμετρον τῆς τοῦ πρ τυμπάνου διάμετρον, τοὺς δὲ ὀδόντας μὴ συμπλεκομένους τοῖς ὀδοῦσι τοῦ μν τυμπάνου. ἡ ἄρα διὰ τοῦ $\overline{\text{στ}}$ τυμπάνου κινοῦσα τὸ βάρος δύναμις ἕξει βάρος ταλάντων $\overline{\text{κ}}$· ἦν δὲ ἡ δοθεῖσα δύναμις ταλάντων τεσσάρων. δεήσει σὺν πάλιν ἕτερον μὲν τύμπανον ὠδοντωμένον τὸ υφ παρακεῖσθαι τῷ στ ὀδοντωθέντι, τῷ δὲ ἄξονι τοῦ υφ τυμπάνου συμφυὲς γενέσθαι τὸ χψ ὠδοντωμένον, οὗ ἡ διάμετρος πρὸς τὴν τοῦ υφ τυμπάνου διάμετρον λόγον ἐχέτω ὃν τὰ $\overline{\beta}$ πρὸς $\overline{\alpha}$· ἡ ἄρα κινοῦσα τὸ βάρος δύναμις διὰ τοῦ χψ τυμπάνου ἔσται ταλάντων $\overline{\text{ι}}$. πάλιν δὴ παρακείσθω μὲν τῷ χψ τυμπάνῳ ἕτερον τύμπανον ὠδοντωμένον τὸ $\overline{\text{Γπ}}$, τῷ δὲ ἄξονι αὐτοῦ τύμπανον ἔστω συμφυὲς $AB$ [1]) ὠδοντωμένον ὀδοῦσι λοξοῖς, οὗ ἡ διάμετρος πρὸς τὴν τοῦ $\overline{\text{Γπ}}$ διάμετρον λόγον ἐχέτω ὃν ἔχει τὰ $\overline{\text{ι}}$ τάλαντα πρὸς τὰ τῆς δοθείσης δυνάμεως τάλαντα $\overline{\delta}$. καὶ τούτων κατασκευασθέντων, ἐὰν ἐπινοήσωμεν τὸ αβγδ γνωσσόκομον μετέωρον κείμενον ἀμεταστάτως, καὶ ἐκ μὲν τοῦ εζ ἄξονος βάρος ἐξάψωμεν, ἐκ δὲ τοῦ $AB$ τυμπάνου τὴν ἕλκουσαν δύναμιν τὰ $\overline{\delta}$ τάλαντα, οὐδ' ὁπότερος αὖτως [2]) κατενεχθήσεται, εὐλύτως στρεφομένων τῶν ἀξόνων καὶ τῆς τῶν τυμπάνων παραθέσεως ἀκριβῶς ἁρμοζούσης, ἀλλ' ὥσπερ ἐπὶ ζυγοῦ τινος ἰσορροπήσει ἡ δύναμις τῶν $\overline{\delta}$ ταλάντων. ἐὰν ἄρα ἑνὶ αὐτῶν προσθῶμεν ὀλίγον τι βάρος, καταρρέψει καὶ ἐνεχθήσεται ἐφ' ὁπότερον μέρος ἡ πρόσθεσις γεγένηται· εἰ γὰρ λόγου χάριν τῇ τῶν $\overline{\delta}$ ταλάντων δυνάμει μναῖον προστεθῇ βάρος, κατακρατῆσαν ἐπισπάσεται τὸ βάρος τῶν $\overline{\text{ρξ}}$ ταλάντων. ἀντὶ δὲ τῆς προσθέσεως παρακείσθω

---

[1]) In der Hdsch. findet sich hier die Bezeichnung: $\overset{\alpha}{\text{M}}\ \overset{\beta}{\text{M}}$. Ich habe dafür einfacher grosse Buchstaben gewählt.

[2]) So die Hdsch. vielleicht ist zu lesen οὐδοπότερον αὐτῶν.

Hosted by Google

Einschnitt in der Wand $\alpha\beta$ um die Welle $\varepsilon\zeta$ auf jeder Seite der Scheibe $\eta\vartheta$ gewickelt und die Scheibe gedreht wird, so wird diese auch die damit fest verbundene Welle drehen, die an ihren Enden in ehernen Zapfen sich bewegt, die gleichfalls in ehernen in den Wänden $\alpha\beta$, $\gamma\delta$ liegenden Zapfenlagern laufen, und die von der Last, die $\varphi o\varrho\tau\acute{\iota}o\nu$ genannt wird, ausgehenden Taue werden die Last in Bewegung setzen. Aber um die Scheibe $\eta\vartheta$ zu bewegen, wird eine Kraft von mehr als 80 Talenten nöthig sein, weil der Durchmesser der Scheibe das Doppelte des Durchmessers der Welle ist; dies Problem ist von Hero in seiner Mechanik gelöst, worin auch viele andere sehr nützliche und für das Leben höchst werthvolle Aufgaben beschrieben sind. Da uns nun nicht die Kraft von 80 Talenten gegeben ist, sondern nur von 4 Talenten, so füge man eine andere der $\varepsilon\zeta$ parallel liegende Welle $\varkappa\lambda$ hinzu, die mit der gezahnten Scheibe $\mu\nu$ fest verbunden ist, so dass die Zähne derselben in die Zähne der Scheibe $\eta\vartheta$ passen. Dies ist der Fall, wenn der Durchmesser der Scheibe zu dem Durchmesser der Scheibe $\mu\nu$ sich verhält wie die Anzahl der Zähne von $\eta\vartheta$ zur Anzahl der Zähne von $\mu\nu$. Auf welche Weise dies stattfindet, wird im Folgenden klar werden. Es ist demnach auch die Scheibe $\mu\nu$ gegeben. Mit derselben Welle $\varkappa\lambda$ ist die Scheibe $\xi o$ fest verbunden, deren Durchmesser das Doppelte des Durchmessers von $\mu\nu$ ist. Deshalb wird derjenige, der durch die Scheibe $\xi o$ die Last bewegen will, eine Kraft von 40 Talenten nöthig haben, da 80 Talente das Doppelte von 40 Talenten sind. Wiederum sei aber neben der gezahnten Scheibe $\xi o$ eine andere gezahnte Scheibe $\pi\varrho$ mit einer andern Welle fest verbunden und an derselben Welle eine andere Scheibe $\sigma\tau$, deren Durchmesser gleichfalls das Doppelte des Durchmessers der Scheibe $\pi\varrho$ ist und deren Zähne mit den Zähnen der Scheibe $\mu\nu$ nicht in Berührung kommen. Mithin wird die Kraft, die mittelst der Scheibe $\sigma\tau$ die Last bewegt, einer Last von 20 Talenten gleich sein. Nun war aber die gegebene Kraft nur von 4 Talenten; es ist also nöthig der gezahnten Scheibe $\sigma\tau$ wiederum eine gezahnte Scheibe $\upsilon\varphi$ hinzuzufügen und mit der Welle von der Scheibe $\upsilon\varphi$ die gezahnte Scheibe $\chi\psi$ fest zu verbinden, deren Durchmesser zum Durchmesser der Scheibe $\upsilon\varphi$ sich wie 2 : 1 verhält; demnach wird die Kraft, welche die Last durch die Scheibe $\chi\psi$ bewegt, von 10 Talenten sein. Ferner füge man der Scheibe $\chi\psi$ eine andere gezahnte Scheibe $\vdash\pi$ hinzu, mit der Welle der-

Hosted by Google

κοχλίας τῷ $AB$ τυμπάνῳ ὁ $\omega\Gamma$ ἔχων τὴν ἕλικα ἁρμόζουσαν τοῖς λοξοῖς ὀδοῦσι τοῦ τυμπάνου τοῦ $AB$, τοῦτο δὲ ὡς δεῖ ποιεῖν, ἐν τοῖς αὐτοῖς μηχανικοῖς Ἥρωνος γέγραπται, καὶ ἡμεῖς δὲ τοῦτο σαφέστερον ἑξῆς γράψομεν. στρεφέσθω δὲ ὁ κοχλίας εὐλύτως περὶ τόρμους ἐνόντας ἐν τρήμασι στρογγύλοις ὧν ὁ ἕτερος ὑπερεχέτω εἰς τὸ ἐκτὸς μέρος τοῦ γλωσσοκόμου κατὰ τὸν $\gamma\delta$ τοῖχον, καὶ ὑπεροχὴ τετραγωνισθεῖσα λαβέτω χειρολάβην $\Gamma\Delta$, δι' ἧς ἐπιλαβόμενοι καὶ ἐπιστρέφοντες τὸν κοχλίαν ἐπιστέψομεν καὶ τὸ $AB$ τύμπανον, ὥστε καὶ τὸ $\pi$ συμφυὲς αὐτῷ. διὰ δὲ τοῦτο καὶ τὸ παρακείμενον αὐτῷ τὸ $\chi\psi$ στραφήσεται καὶ τὸ συμφυὲς αὐτῷ τοῦ $\upsilon\varphi$, καὶ τὸ παρακείμενον αὐτῷ τὸ $\sigma\tau$ καὶ τὸ τούτῳ συμφυὲς τὸ $\pi\rho$, καὶ τὸ τούτῳ παρακείμενον τὸ [$\xi o$ καὶ τὸ τούτῳ συμφυὲς τὸ $\mu\nu$, καὶ τὸ τούτῳ παρακείμενον τὸ] $\eta\vartheta$, ὥστε καὶ ὁ τούτῳ συμφυὴς ἄξων ὁ $\varepsilon\zeta$ περὶ ὃν ἐπειλοῦντες ἐκ τοῦ φορτίον ὅπλα κινήσομεν τὸ βάρος. ὅτι [1]) γὰρ κινήσεται, δῆλον ἐκ τοῦ προστεθεῖσθαι ἑτέραν δύναμιν τὴν τῆς χειρολαβῆς, ἥτις περιγράφει κύκλον τῆς τοῦ κοχλίου περιμέτρου μείζονα, ἀπεδείχθη γὰρ ἐν τῷ περὶ ζυγῶν Ἀρχιμήδους καὶ τοῖς Φίλωνος καὶ Ἥρωνος μηχανικοῖς, ὅτι οἱ μείζονες κύκλοι κατακρατοῦσιν τῶν ἐλασσόνων κύκλων, ὅταν περὶ τὸ αὐτὸ κέντρον ἡ κύλισις [2]) αὐτῶν γίνηται.

---

[1]) So emendirt *Commandin*; die Hdsch. hat *τί*.

[2]) Die Hdsch. hat *κύκλισις*.

Hosted by Google

eine gezahnte Scheibe $AB$ mit schiefen Zähnen fest verbunden, deren Durchmesser zum Durchmesser von $\lrcorner\pi$ im Verhältniss von 10 Talenten zu den 4 Talenten der gegebenen Kraft steht. Nachdem dies vorgerichtet, denken wir uns das Futteral $\alpha\beta\gamma\delta$ in der Höhe fest aufgestellt, an der Welle $\varepsilon\zeta$ die Last befestigt und an der Scheibe $AB$ die ziehende Kraft von 4 Talenten, so wird nach keiner Seite ein Herabsinken stattfinden, wenn nur die Welle sich mit Leichtigkeit drehen und die neben einander gestellten Scheiben vollkommen in einander greifen, vielmehr wird wie an einer Wage die Kraft von 4 Talenten (den 160 Talenten) das Gleichgewicht halten. Wenn wir mithin einem derselben eine kleine Last hinzufügen, so wird ein Herabsinken vor sich gehen nach der Seite hin, wo die Last hinzugefügt wurde; fügen wir z. B. der Kraft von 4 Talenten die Last von einer Mine hinzu, so wird sie das Uebergewicht erhalten und die Last von 160 Talenten anziehen. Anstatt etwas an Gewicht hinzuzulegen, sei eine Schraube $\omega\Gamma$ der Scheibe $AB$ angefügt, die einen in die schiefen Zähne der Scheibe $AB$ passenden Schraubengang hat; wie dies ausgeführt werden muss, wird ebenfalls in der Mechanik Hero's beschrieben und auch wir werden es in der Folge deutlich darthun. Es drehe sich also die Schraube mit Leichtigkeit um abgerundete Stellen in runden Löchern, von denen die eine über die äussere Wand des Futterals hervorragen mag, und dieser hervorragende Theil, der viereckig ist, sei mit einer Handhabe $\Gamma\Delta$ versehen, durch die wir die Schraube anfassen und drehen und auch die Scheibe $AB$ drehen werden, daher auch die mit ihr fest verbundene $\lrcorner\pi$; durch diese wird auch die daran stossende $\chi\psi$ und die mit dieser fest verbundene $\upsilon\varphi$ gedreht, ferner die an diese anstossende $\sigma\tau$ und die mit ihr fest verbundene $\pi\varrho$, und ebenso die an diese stossende $\xi o$ und die mit ihr fest verbundene $\mu\nu$, und endlich die neben dieser liegende $\eta\vartheta$, daher auch die mit dieser letztern fest verbundene Welle $\varepsilon\zeta$, um welche wir die von der Last ausgehenden Taue gewunden haben und wodurch wir die Last bewegen werden. Dass eine Bewegung derselben erfolgen wird, ergiebt sich daraus dass eine andere Kraft an der Handhabe hinzugesetzt ist, die einen grössern Kreis als der Umfang der Schraube ist beschreibt; es ist nämlich in der Schrift Archimed's über die Wage und in der Mechanik Philo's und Hero's gezeigt, dass grössere Kreise über kleinere Kreise das Uebergewicht erhalten, wenn die Drehung um denselben Mittelpunkt geschieht.



Hosted by Google

Τὰ μὲν οὖν μάλιστα συνέχοντα τὴν μηχανικὴν θεωρίαν ταῦτ' ἂν εἴη. τῆς δὲ ὀργανικῆς πολλὰ μὲν εἴδη καὶ μέρη· τὰ μὲν γὰρ ὑπὸ τῆς μηχανικῆς καὶ γνωμονικὰ καὶ τῆς περὶ ὑδρείων πραγματείας λόγῳ θεωρούμενα δι' αὐτῶν τῶν ὀργάνων ὑπὸ ταύτης κατασκευαζομένων [1]) δείκνυται, πολλὰ δὲ καὶ χωρὶς τῶν μηχανικῶν ἔξωθεν ὑπ' αὐτῆς ἐπιτελεῖται, καί τινα ταῖς γεωμετρικαῖς ἐφόδοις δυσχείριστα μεταλαβοῦσα τοῖς ὀργάνοις εἰς ῥᾳδιεστέραν ἤγαγε κατασκευήν. αὐτίκα γοῦν τὸ καλούμενον Δηλιακὸν πρόβλημα τῇ φύσει στερεὸν ὑπάρχον, οὐχ οἷόν τε ἦν κατασκευάσαι τῷ γεωμετρικῷ λόγῳ κατακολουθοῦντας, ἐπεὶ μηδὲ τὰς τοῦ κώνου τομὰς ῥᾴδιον ἐν ἐπιπέδῳ γραφεῖν ἦν, τοῖς δ' ὀργάνοις μεταληφθὲν εἰς χειρουργίαν καὶ κατασκευὴν ἐπιτήδειον μᾶλλον τῆς ὑπὸ τῶν ἄλλων ἐκτεθειμένης οὕτως ἀναχθείη τὸ προκείμενον. λέγω δὲ τὸ κύβον διπλάσιον εὑρεῖν· οὐ μόνον δὲ διπλάσιος εὑρίσκεται διὰ τοῦ ὑποκειμένου ὀργάνου, ἀλλὰ καὶ καθόλου λόγον ἔχων τὸν ἐπιταχθέντα. κατασκευάσθω γὰρ ἡμικύκλιον τὸ αβγ, καὶ ἀπὸ τοῦ κέντρου πρὸς ὀρθὰς ἀνήχθω ἡ δβ, καὶ κινείσθω κανόνιόν τι περὶ τὸ α σημεῖον οὕτως, ὥστε τὸ μὲν ἓν πέρας αὐτοῦ περικεῖσθαι τυλίῳ τινὶ κατὰ τὸ α σημεῖον ἐστῶτι [2]), τὸ δὲ λοιπὸν μέρος ὡς περὶ κέντρον τὸ τυλάριον κινεῖσθαι μεταξὺ τῶν β, γ. τούτων δὲ κατασκευασμένων ἐπιτετάχθω δύο κύβους εὑρεῖν, λόγον ἔχοντας περὶ ἀλλήλους δοθέντα. καὶ τῷ λόγῳ ὁ αὐτὸς πεποιήσθω ὁ τῆς βδ πρὸς δε, καὶ ἐπιζευχθεῖσα ἡ γε ἐκβεβλήσθω. παραγέσθω δὴ τὸ κανόνιον μεταξὺ των β, γ ἕως οὗ τὸ ἀπολαμβανόμενον αὐτοῦ μέρος μεταξὺ τῶν ζε, εβ εὐθειῶν ἴσον γένηται τῷ μεταξὺ τῆς βε εὐθείας καὶ τῆς βκγ περιφερείας· τοῦτο γὰρ πειράζοντες αἰεὶ καὶ μειάγοντες τὸ κανόνιον ῥᾳδίως ποιήσομεν. γεγονέτω δὴ καὶ ἐχέτω θέσιν τὴν αηθκ, ὥστε ἴσας εἶναι τὰς ηθ, θκ, λέγω ὅτι ὁ ἀπὸ τῆς βδ κύβος πρὸς τὸν ἀπὸ τῆς δθ κύβον λόγον ἔχει τὸν ἐπιταχθέντα, τουτέστι τὸν τῆς βδ πρὸς δε. νοείσθω γὰρ ὁ κύκλος προσαναπεπληρωμένος καὶ ἐπιζευχθεῖσα ἡ κδ ἐκβεβλήσθω ἐπὶ τὸ λ, καὶ ἐπεζεύχθω ἡ λη, παράλληλος ἄρα ἐστὶ τῇ βδ, διὰ τὸ ἴσην εἶναι τὴν μὲν κθ τῇ θη, τὴν δὲ κδ τῇ δλ. ἐπεζεύχθω

---

[1]) Die Hdsch. hat *λόγω θεωρούμεθα κατασκευαζόμενα.*

[2]) Die Hdsch. hat *ἔστω τι.*

Hosted by Google

In dem Vorstehenden kommt es hauptsächlich auf Mechanik an. Die Wissenschaft, welche sich der Werkzeuge bedient, hat viele Arten und Abtheilungen; während nämlich manches aus der Mechanik, Gnomonik und Hydromechanik, abstract betrachtet, mit Hülfe von der genannten Wissenschaft construirter Werkzeuge dargethan wird, wird vieles auch ohne die Mechaniker von derselben zu Ende geführt, und gewisse Probleme, die durch die geometrischen Methoden schwer zu behandeln sind, hat sie mit Hülfe von Werkzeugen auf eine leichtere Weise construirt. Sofort wenigstens war das sogenannte delische Problem, das seiner Natur nach körperlich ist, für diejenigen, welche den geometrischen Weg befolgen, zu construiren nicht möglich, da es nicht leicht war die Kegelschnitte in einer Ebene zu beschreiben, dagegen dürfte es mit Hülfe von Werkzeugen auf eine Handarbeit und auf eine bequemere Construction als die von andern angegeben ist, auf folgende Weise zurückgeführt werden. Es soll ein Cubus verdoppelt werden; mittelst des angenommenen Werkzeugs wird aber nicht allein der doppelte Cubus gefunden, sondern auch allgemein der Cubus, der in einem geforderten Verhältniss steht. Man beschreibe nämlich den Halbkreis $\alpha\beta\gamma$, errichte im Mittelpunkt die Senkrechte $\delta\beta$, und es bewege sich eine Regel um den Punkt $\alpha$, so dass das eine Ende derselben um einen im Punkte $\alpha$ feststehenden Stift sich dreht, der übrige Theil aber sich um diesen Stift als Mittelpunkt zwischen den Punkten $\beta$, $\gamma$ bewegt. Nachdem dies vorbereitet, sei die Aufgabe zwei Cuben zu finfinden, die zu ein-

[*Command. XI.*]



δὴ καὶ ἥ τε αλ καὶ λγ. ἐπεὶ οὖν ὀρθή ἐστιν ἡ ὑπὸ ηαλ ἐν ἡμικυκλίῳ, καὶ κάθετος ἡ αμ, ἔστιν ἄρα ὡς τὸ ἀπὸ λμ πρὸς τὸ ἀπὸ μα, τουτέστιν ὡς ἡ γμ πρὸς μα, οὕτω τὸ ἀπὸ αμ πρὸς τὸ ἀπὸ μη· κοινὸς προσκείσθω λόγος ὁ τῆς αμ πρὸς μη, ὁ ἄρα συγκείμενος ἔκ τε τοῦ τῆς γμ πρὸς μα καὶ τῆς αμ πρὸς μη, τουτέστιν ὁ τῆς γμ πρὸς μη λόγος ὁ αὐτός ἐστι τῷ συγκειμένῳ ἔκ τε τοῦ ἀπὸ τῆς αμ πρὸς τὸ ἀπὸ τῆς μη καὶ ἐκ τοῦ τῆς αμ πρὸς μη· ὁ δὲ συγκείμενος ἔκ τε τοῦ αμ πρὸς τὸ ἀπὸ τῆς μη καὶ τοῦ τῆς αμ πρὸς μη ὁ αὐτός ἐστι τῷ λόγῳ ὃν ἔχει ὁ ἀπὸ τῆς αμ κύβος πρὸς τὸν ἀπὸ τῆς μη κύβον· καὶ ὁ τῆς γμ ἄρα πρὸς τὴν μη λόγος αὐτός ἐστι τῷ λόγῳ τοῦ ἀπὸ τῆς αμ κύβου πρὸς τὸν ἀπὸ τῆς μη κύβον. ἀλλ᾽ ὡς μὲν ἡ γμ πρὸς μη οὕτως ἡ γδ πρὸς δε, τουτέστιν ἡ βδ πρὸς δε, ὡς δὲ ἡ αμ πρὸς μη οὕτως ἡ αδ πρὸς δϑ, τουτέστιν ἡ δβ πρὸς δϑ, καὶ ὡς ἄρα ἡ βδ πρὸς δε, τουτέστιν ὡς ὁ δοθεὶς λόγος οὕτως ὁ ἀπὸ τῆς βδ κύβος πρὸς τὸν ἀπὸ τῆς δϑ κύβον.

*Πρόβλημα ὀργανικὸν ἐπὶ κυλίνδρου.* Τὰ δ᾽ ὀργανικὰ ἐν τοῖς μηχανικοῖς λεγόμενα προβλήματά ἐστιν, ὅτι γίνεται τῆς γεωμετρικῆς ἐξουσίας ἀφαιρούμενα, ἅ οἷά ἐστι καὶ τὰ ἐνὶ διαστήματι γραφόμενα καὶ τὸ ἐπὶ τοῦ τὰς βάσεις ἀμφοτέρας λελωβημένου κυλίνδρου προτεινόμενον ὑπὸ τῶν ἀρχιτεκτόνων, ἀξιοῦσι γὰρ μέρους ἐπιφανείας ὀρθοῦ κυλίνδρου δοθέντος, οὗ μηδὲν μέρος ὑγιὲς φυλάσσεται τῶν ἐν ταῖς βάσεσι περιφερειῶν, εὑρεῖν τὸ πάχος τοῦ κυλίνδρου, τουτέστι τοῦ κύκλου τὴν διάμετρον ἀφ᾽ οὗ τὴν γένεσιν ἔσχεν ὁ κύλινδρος. εὑρίσκεται δὲ μεθοδευθὲν ὑψόσε [1]) οὕτως. εἰλήφθω ἐπὶ τῆς δοθείσης ἐπιφανείας δύο σημεῖα τὰ α, β καὶ κέντροις αὐτοῖς

---

[1]) Die Hdsch. hat ὕψος.

Hosted by Google

ander ein gegebenes Verhältniss haben. Man mache $\beta\delta : \delta\varepsilon$ dem gegebenen Verhältniss gleich, ziehe die Linie $\gamma\varepsilon$ und verlängere sie. Es werde nun die Regel zwischen den Punkten $\beta$, $\gamma$ herumgeführt, bis dass der Theil derselben zwischen den Geraden $\zeta\varepsilon$, $\varepsilon\beta$ dem Theil zwischen der Geraden $\beta\varepsilon$ und der Peripherie $\beta\varkappa\gamma$ gleich wird, was wir durch fortgesetzte Versuche in der Herumführung der Regel leicht bewirken werden. Es sei geschehen, und die Regel habe die Lage $\alpha\eta\vartheta\varkappa$ so dass $\eta\vartheta = \vartheta\varkappa$, so wird der Cubus von $\beta\delta$ zum Cubus von $\delta\vartheta$ das geforderte Verhältniss d. h. $= \beta\delta : \delta\varepsilon$ haben. Man denke sich nämlich den Kreis vervollständigt, verlängere die Linie $\varkappa\delta$ bis $\lambda$ und ziehe $\lambda\eta$, die zu $\beta\delta$ parallel ist, weil $\varkappa\vartheta = \vartheta\eta$, $\varkappa\delta = \delta\lambda$. Man ziehe ferner $\alpha\lambda$ und $\lambda\gamma$. Da nun $\angle\ \eta\alpha\lambda = $ R als Winkel im Halbkreis und $\alpha\mu$ eine Senkrechte, so ist Quadrat über $\lambda\mu$ : Quadrat über $\mu\alpha$ (d. h. $\gamma\mu : \mu\alpha$)

$=$ Quadrat über $\alpha\mu$ : Quadrat über $\mu\eta$.

Verbindet man hiermit $\alpha\mu : \mu\eta = \alpha\mu : \mu\eta$, so ist das zusammengesetzte Verhältniss aus $\gamma\mu : \mu\alpha$ und $\alpha\mu : \mu\eta$ (d. h. $\gamma\mu : \mu\eta$) gleich dem zusammengesetzten Verhältniss aus dem Quadrat über $\alpha\mu$ : Quadrat über $\mu\eta$ und aus $\alpha\mu : \mu\eta$ d. h. gleich dem Cubus von $\alpha\mu$ : Cubus von $\mu\eta$, mithin

$\gamma\mu : \mu\eta =$ Cubus von $\alpha\mu$ : Cubus von $\mu\eta$.

Aber $\gamma\mu : \mu\eta = \gamma\delta : \delta\varepsilon$ (d. h. $\beta\delta : \delta\varepsilon$)

und $\alpha\mu : \mu\eta = \alpha\delta : \delta\vartheta$ (d. h. $\delta\beta : \delta\vartheta$),

folglich $\beta\delta : \delta\varepsilon$ d. h. das gegebene Verhältniss wie Cubus von $\delta\beta$ zum Cubus von $\delta\vartheta$.

Ein organisches Problem in Betreff des Cylinders. [*Command. XII.*] Diejenigen Probleme unter den mechanischen, welche man organische nennt, sind von der Beschaffenheit, dass sie ausgeführt werden, obwohl ihre geometrische Lösung nicht möglich ist; dahin gehören z. B. die mit einer einzigen Zirkelöffnung beschrieben werden und das von den Architekten vorgelegte in Betreff eines an seinen beiden Grundflächen verletzten Cylinders; sie verlangen nämlich, wenn ein Theil einer Oberfläche eines geraden Cylinders gegeben ist, von dem kein Theil der Umfänge der Grundflächen vollständig vorhanden, die Dicke des Cylinders zu finden d. h. den Durchmesser des Kreises, durch welchen der Cylinder entstanden ist. Es wird, wenn man methodisch in die Höhe geht,

Hosted by Google

καὶ διασιήματι σεσημειώσθω ἐπὶ τῆς ἐπιφανείας αὐτοῦ τὸ γ, καὶ πάλιν κέντροις αὐτοῖς τοῖς α, β διαστήματι τοῦ προτέρου μείζονι σεσημειώσθω τὸ δ, καὶ ἄλλῳ διαστήματι τὸ ε καὶ ἄλλῳ τὸ ζ καὶ ἄλλῳ τὸ η. ἔσται δὴ τὰ $\bar{\varepsilon}$ σημεῖα τὰγ, δ, ε, ζ, η ἐνὶ ἐπιπέδῳ, διὰ τὸ καὶ τὴν ἐπιζευγνυοῦσαν ἕκαστον αὐτῶν ὡς κορυφὴν ἰσοσκελοῦς τριγώνου καὶ τὴν διχοτομίαν τῆς ἐπιζευγνυούσης εὐθείας τὰ αβ ὡς βάσεως κοινῆς τῶν τριγώνων ὀρθὴν εἶναι πρὸς τὴν αβ, καὶ ἐν ἑνὶ γενέσαι ἐπιπέδῳ τὰ $\bar{\varepsilon}$ εὐθείας, καὶ δῆλον ὅτι τὰ γ, δ, ε, ζ, η σημεῖα. ταῦτα δὲ εἰς ἐπίπεδον ἐκθησόμεδα οὕτως· ἐκ τριῶν μὲν εὐθειῶν τῶν ἐπιζευγνυουσῶν τὰ γ, δ, ε, τρίγωνον ἐν τῷ ἐπιπέδῳ συνεστάτω τὸ ϑκλ, ἐκ τριῶν δὲ τῶν ἐπιζευγνυουσῶν τὰ δ, ε, ζ τὸ κλμ, ἐκ τριῶν δὲ τῶν ἐπιζευγνυουσῶν τὰ ε, ζ, η σημεῖα τρίγωνον συνεστάτω τὸ λμν· ἔσται ἄρα ἐκκείμενα τὰ ϑκλ, κλμ, λμν τρίγωνα ἀντὶ τῶν γδε, δεζ, εζη τριγώνων. ἂν δὴ περὶ τὰ ϑ, κ, λ, μ, ν σημεῖα γράψωμεν ἔλλειψιν, ὁ ἐλάσσων αὐτῆς ἀξων διάμετρος ἔσται τοῦ κύκλου τοῦ τὸν κύλινδρον ἀπεκγεγαμένου.

Ζητουμένου, περὶ πέντε τὰ δοϑέντα σημεῖα ἐν ἑνὶ ἐπιπέδῳ κείμενα τὰ ϑ, κ, λ, μ, ν ἔλλειψιν γράψαι, περιγεγράφϑω, καὶ ἐπιζευχϑεῖσαι αἱ μκ, νϑ πρότερον ἔστωσαν παράλληλοι, καὶ δίχα τετμήσθω ἑκατέρα αὐτῶν τοῖς α, β, καὶ ἐπιζευχϑεῖσα ἡ αβ ἐκβεβλήσθω ἐπὶ τὰ ε, ζ τῆς ἐλλείψεως σημεῖα, ἡ εζ ἄρα διάμετρός ἐστι τῆς ἐλλείψεως διὰ τὸν ὅρον τῶν κωνικῶν ϑέσει δεδομένη, δοϑὲν γὰρ καὶ ἑκάτερον τῶν α β σημείων τῇ ϑέσει. ἤχϑω διὰ τὸ λ τῇ εζ παράλληλος ἡ λξ καὶ ἐπιζευχϑεῖσαι αἱ ξκ, λμ συμπιπτέτωσαν τῇ ϑν ἐκβληϑείσῃ κατὰ τὰ π, η. [δοϑεῖσαι ἄρα εἰσὶν αἱ κμ, ϑν, δοϑὲν γὰρ ἕκαστον] τῶν κ, μ, ϑ, ν. καὶ ἐπεὶ ὡς τὸ ὑπὸ ξδλ πρὸς τὸ ὑπὸ τῶν μδκ οὕτω τὸ ὑπὸ ξγλ πρὸς ἑκατέραν τῶν ὑπὸ ηγπ, νγϑ, ἔσται ἄρα ἴσον τὸ ὑπὸ ηγπ τῷ ὑπὸ νγϑ. καὶ ἔστι δοϑὲν τὸ ὑπὸ νγϑ [1]), δοϑεῖσα γὰρ ἑκατέρα νγ, γϑ· δοϑὲν ἄρα τὸ π. ἀλλὰ καὶ τὸ κ,

[1]) So emendirt *Commandin*, die Hdsch. hat ἔσται ἄρα ἴσαν τὸ ὑπὸ νγε.

auf folgende Weise gefunden. Man nehme in der gegebenen Oberfläche zwei Punkte $\alpha$, $\beta$ an und bezeichne von ihnen als Mittelpunkten mit einer Zirkelöffnung auf der Oberfläche den Punkt $\gamma$; ferner bezeichne man von denselben Mittelpunkten $\alpha$, $\beta$ mit einer grösseren Zirkelöffnung als die vorige den Punkt $\delta$, und mit einer andern Zirkelöffnung den Punkt $\varepsilon$, und mit einer andern den Punkt $\zeta$, und mit einer andern den Punkt $\eta$, so werden die fünf Punkte $\gamma$, $\delta$, $\varepsilon$, $\zeta$, $\eta$ in einer Ebene liegen, weil die Linie, welche einen jeden der Punkte als die Spitze eines gleichschenkligen Dreiecks und die Mitte der Linie $\alpha\beta$ als der gemeinsamen Grundlinie der Dreiecke verbindet, auf $\alpha\beta$ senkrecht steht und diese fünf Geraden in einer Ebene liegen, mithin offenbar auch die fünf Punkte $\gamma$, $\delta$, $\varepsilon$, $\zeta$, $\eta$. Dies nun werden wir auf folgende Weise auf die Ebene übertragen. Es werde aus den drei Geraden, welche die Punkte $\gamma$, $\delta$, $\varepsilon$ verbinden, das Dreieck $\vartheta\varkappa\lambda$ in der Ebene gebildet, ferner aus den drei Geraden, welche die Punkte $\delta$, $\varepsilon$, $\zeta$ verbinden, das Dreieck $\varkappa\lambda\mu$, und aus den drei Geraden, welche die Punkte $\varepsilon$, $\zeta$, $\eta$ verbinden, das Dreieck $\lambda\mu\nu$, so werden die Dreiecke $\vartheta\varkappa\lambda$, $\varkappa\lambda\mu$, $\lambda\mu\nu$ an die Stelle der Dreiecke $\gamma\delta\varepsilon$, $\delta\varepsilon\zeta$, $\varepsilon\zeta\eta$ treten. Wenn wir nun durch die Punkte $\vartheta$, $\varkappa$, $\lambda$, $\mu$, $\nu$ eine Ellipse beschreiben können, so wird die kleine Axe derselben ein Durchmesser des Kreises sein, der den Cylinder hervorgebracht hat.

Da gesucht wird, durch fünf gegebene Punkte $\vartheta$, $\varkappa$, $\lambda$, $\mu$, $\nu$ die in einer Ebene liegen, eine Ellipse zu beschreiben, so sei es geschehen. Die Linien $\mu\varkappa$, $\nu\vartheta$ seien zuerst parallel, und eine jede in den Punkten $\alpha$, $\beta$ halbirt. Man ziehe $\alpha\beta$ und verlängere sie bis zu den Punkten $\varepsilon$, $\zeta$ der Ellipse, so ist $\varepsilon\zeta$ ein Durchmesser der Ellipse, nach der Definition der Kegelschnitte, und zwar der Lage nach gegeben, da ein jeder der Punkte $\alpha$, $\beta$ der Lage nach gegeben ist. Man ziehe durch $\lambda$ zu $\varepsilon\zeta$ die Parallele $\lambda\xi$, ferner die Linien $\xi\varkappa$, $\lambda\mu$, welche die verlängerte $\vartheta\nu$ in den Punkten $\pi$, $\eta$ schneiden. Es sind also die Linien $\varkappa\mu$, $\vartheta\nu$ gegeben, da ein jeder der Punkte $\varkappa$, $\mu$, $\vartheta$, $\nu$ gegeben ist. Da nun Rechteck $\xi\delta \cdot \delta\lambda$ : Rechteck $\mu\delta \cdot \delta\varkappa$ = Rechteck $\xi\gamma \cdot \gamma\lambda$ zu einem jeden der beiden Rechtecke $\eta\gamma \cdot \gamma\pi$, $\nu\gamma \cdot \gamma\vartheta$, so ist Rechteck $\eta\gamma \cdot \gamma\pi$ = Rechteck $\nu\gamma \cdot \gamma\vartheta$. Nun ist Rechteck $\nu\gamma \cdot \gamma\vartheta$ gegeben, da eine jede der $\nu\gamma$, $\gamma\vartheta$ gegeben ist, mithin ist [*Command. XIII.*]

Hosted by Google

θέσει ἄρα ἡ κπξ. ἀλλὰ καὶ ἡ λγξ, δοθὲν ἄρα [1]) τὸ ξ, καὶ ἔστιν ἐπὶ τῆς ἐλλείψεως. ἐπιζευχθεῖσαι δὴ αἱ νξ, λθ συμπιπτέτωσαν τῇ εζ διαμέτρῳ ἐκβληθείσῃ κατὰ τὰ σ, ρ. ἔσται δὴ πάλιν ὡς τὸ ὑπὸ νγθ πρὸς τὸ ὑπὸ ξγλ οὕτω τὸ ὑπὸ ναθ πρὸς ἑκάτερον τῶν ὑπὸ ρασ, εαζ· καὶ τοῦτο ἴσον τῷ ὑπὸ ρασ, [καὶ ἔστι δοθὲν τὸ ὑπὸ ρασ,] δοθεῖσαι γάρ εἰσιν αἱ ρα, ασ, δοθὲν ἄρα καὶ τὸ ὑπὸ εα, αζ. τῷ δ' ὁμοίῳ τρόπῳ δειχθήσεται καὶ τὸ [ὑπὸ] εβζ δοθέν, καὶ δοθέντα τὰ α, β, δοθέντα ἄρα καὶ τὰ ε, ζ, ὡς ἑξῆς δειχθήσεται, ὥστε ἡ εζ διάμετρος δέδοται τῷ μεγέθει, δηλονότι καὶ ἡ συζύγης αὐτῆς, δέδοται γὰρ ὁ τῆς εζ πλαγίας πρὸς τὴν ὀρθίαν αὐτῆς λόγος, ὁ αὐτὸς ὢν τῷ τοῦ ὑπὸ εαζ πρὸς τὸ ἀπὸ αν.

---

[1]) So emendirt *Commandin*, die Hdsch. hat *γὰρ*.

Hosted by Google

der Punkt $\pi$ gegeben. Aber es ist auch der Punkt $\varkappa$ gegeben,




folglich ist die Linie $\varkappa\pi\xi$ der Lage nach gegeben. Es ist aber auch die Linie $\lambda\gamma\xi$ gegeben, mithin auch der Punkt $\xi$, der auf der Ellipse liegt. Man ziehe nun $\nu\xi$, $\lambda\vartheta$, welche den verlängerten Durchmesser $\varepsilon\zeta$ in den Punkten $\sigma$, $\varrho$ schneiden. Wiederum ist Rechteck $\nu\gamma \,.\, \gamma\vartheta$ : Rechteck $\xi\gamma \,.\, \gamma\lambda$ = Rechteck $\nu\alpha \,.\, \alpha\vartheta$ zu einem jeden der Rechtecke $\varrho\alpha \,.\, \alpha\sigma$, $\varepsilon\alpha \,.\, \alpha\zeta$, mithin Rechteck $\varepsilon\alpha \,.\, \alpha\zeta$ = Rechteck $\varrho\alpha \,.\, \alpha\sigma$. Aber Rechteck $\varrho\alpha \,.\, \alpha\sigma$ ist gegeben, da $\varrho\alpha$, $\alpha\sigma$ gegeben sind, mithin ist auch Rechteck $\varepsilon\alpha \,.\, \alpha\zeta$ gegeben. Auf ähnliche Weise wird bewiesen, dass auch Rechteck $\varepsilon\beta \,.\, \beta\zeta$ gegeben ist, und da die Punkte $\alpha$, $\beta$ gegeben sind, so sind auch die Punkte $\varepsilon$, $\zeta$ gegeben, wie in der Folge dargethan werden wird, daher ist der Durchmesser $\varepsilon\zeta$ der Grösse nach gegeben und offenbar auch der ihm conjugirte Durchmesser, da das Verhältniss der grossen Axe $\varepsilon\zeta$ zu dem Parameter gegeben ist, welches dem Verhältniss von Rechteck $\varepsilon\alpha \,.\, \alpha\zeta$: Quadrat über $\alpha\nu$ gleich ist.

Hosted by Google

*Τὸ ὑπερτεθὲν· ἔστω δοθὲν ἓν ἑκάτερον τῶν ὑπὸ αγβ, αδβ, καὶ δοθέντα τὰ γ, δ· ὅτι τὰ α, β δοθέντα ἐστὶν. ἔστω γὰρ τῷ μὲν ὑπὸ αγβ ἴσον τὸ ὑπὸ δγε, τῷ δὲ ὑπὸ αδβ ἴσον τὸ ὑπὸ γδζ, [ἔσται ἄρα ὡς ἡ γε] πρὸς τὴν εα οὕτως ἡ αζ πρὸς ζδ, διὰ τὴν κατασκευὴν ἑκάτερος λόγος ὁ αὐτός ἐστι τῷ τῆς γβ πρὸς βδ· ἴσον ἄρα τὸ ὑπὸ εγ, ζδ τῷ ὑπὸ εαζ, ὥστε καὶ τὸ α σημεῖον· ὁμοίως καὶ τὸ β.*

*Μὴ ἔστωσαν δὴ αἱ τῶν ν, ϑ, μ, κ δεδομένα ἐπὶ τῆς ἐλλείψεως σημεῖα ἐπιζευγνυοῦσαι παράλληλοι, καὶ ἐπιζευχθεῖσαι αἱ νκ, μϑ τεμνέτωσαν ἀλλήλας κατὰ τὸ τ. καὶ διὰ τοῦ λ παράλληλος ἤχθω τῇ μτϑ ἡ λυφ, ἔσται δὴ λόγος τοῦ ὑπὸ νυκ πρὸς τὸ ὑπὸ λυφ [δοθείς], ὁ αὐτὸς γὰρ τῷ ὑπὸ ντκ πρὸς τὸ ὑπὸ μτϑ, καὶ δοθὲν τὸ ὑπὸ νυκ, δοθὲν ἄρα καὶ τὸ ὑπὸ λυφ· καὶ δοθέντα τὰ λ, υ, δοθὲν ἄρα τὸ φ. ἀπῆκται οὖν εἰς τὸ προγεγραμμένον, περὶ πέντε σημεῖα τὰ μ, ν, λ, φ, ϑ γράψαι ἔλλειψιν τὴν νμλφϑ παραλλήλων ὑποκειμένων τῶν μϑ, φλ.*

*Ῥᾴδιον δὲ συζυγιῶν διαμέτρων ἐλλείψεως προσθεισῶν ὠντινωνοῦν, τοὺς ἄξονας αὐτῆς ὀργανικῶς εὑρεῖν. μεθοδεύσεται δὲ τὸν τρόπον τοῦτον· ἐκκείσθωσαν αἱ προευρεθεῖσαι τῆς ἐλλείψεως διάμετροι συζυγεῖς αἱ αβ, γδ δίχα τέμνουσαι ἀλλήλας κατὰ τὸ ε, καὶ διὰ μὲν τοῦ α τῇ γδ παράλληλος ἤχθω ἡ ζη. τῷ δὲ ἀπὸ δε ἴσον κείσθω τὸ ὑπὸ εαϑ, καὶ ἡ εϑ δίχα τετμήσθω κατὰ τὸ κ, μείζων γάρ ἐστιν ἡ δε τῆς εα· καὶ τῇ εϑ πρὸς ὀρθὰς ἀπὸ τοῦ κ ἤχθω [ἡ κλ] καὶ τεμνέτω τὴν ζη κατὰ τὸ λ, καὶ περὶ κέντρον τὸ λ διὰ τοῦ ε γραφομένη κύκλου περιφέρεια τεμνέτω τὴν ηζ κατὰ τὰ ζ, η, καὶ*

Hosted by Google

Das, was im Vorhergehenden angenommen ist, wird so bewiesen. Es sei ein jedes der beiden Rechtecke $\alpha\gamma \cdot \gamma\beta$, $\alpha\delta \cdot \delta\beta$ und die Punkte $\gamma$, $\delta$ gegeben, so sind auch die Punkte $\alpha$, $\beta$ gegeben.

$\varepsilon$ $\alpha$ $\gamma$ $\delta$ $\beta$ $\zeta$

Ist nämlich Rechteck $\delta\gamma \cdot \gamma\varepsilon$ = Rechteck $\alpha\gamma \cdot \gamma\beta$, und Rechteck $\gamma\delta \cdot \delta\zeta$ = Rechteck $\alpha\delta \cdot \delta\beta$, so ist $\gamma\varepsilon : \varepsilon\alpha = \alpha\zeta : \zeta\delta$, da nach der Construction ein jedes der Verhältnisse dem Verhältniss $\gamma\beta : \beta\delta$ gleich ist; mithin Rechteck $\gamma\varepsilon \cdot \zeta\delta$ = Rechteck $\varepsilon\alpha \cdot \alpha\zeta$, daher ist auch der Punkt $\alpha$ gegeben. Auf ähnliche Weise ist auch der Punkt $\beta$ gegeben.

Es seien nun die Linien, welche die in der Ellipse gegebenen Punkte $\nu$, $\vartheta$, $\mu$, $\varkappa$ verbinden, nicht parallel, und es mögen sich die Linien $\nu\varkappa$, $\mu\vartheta$ im Punkte $\tau$ schneiden. Man ziehe durch $\lambda$ zu $\mu\tau\vartheta$ die Parallele $\lambda\upsilon\varphi$, so wird das Verhältniss von Rechteck $\nu\upsilon \cdot \upsilon\varkappa$ : Rechteck $\lambda\upsilon \cdot \upsilon\varphi$ gegeben sein, denn es ist dem Verhältniss von Rechteck $\nu\tau \cdot \tau\varkappa$ : Rechteck $\mu\tau \cdot \tau\vartheta$ gleich, und da Rechteck $\nu\upsilon \cdot \upsilon\varkappa$ gegeben ist, so ist auch Rechteck $\lambda\upsilon \cdot \upsilon\varphi$ gegeben; es sind aber die Punkte $\lambda$, $\upsilon$ gegeben, mithin auch der Punkt $\varphi$. Demnach ist dieser Fall auf den vorhergehenden zurückgeführt, durch die fünf Punkte $\mu$, $\nu$, $\lambda$, $\varphi$, $\vartheta$, unter der Bedingung dass die Linien $\mu\vartheta$, $\varphi\lambda$ parallel sind, die Ellipse $\nu\mu\lambda\varphi\vartheta$ zu beschreiben.




Es ist leicht, wenn irgend welche conjungirte Durchmesser einer Ellipse gezogen sind, die Axen derselben durch organische Construction zu finden. Die Aufgabe wird auf folgende Weise behandelt. Es seien $\alpha\beta$, $\gamma\delta$ die gefundenen conjugirten Durchmesser der Ellipse, welche einander im Punkt $\varepsilon$ halbiren, und es sei durch $\alpha$ zu $\gamma\delta$ die Parallele $\zeta\eta$ gezogen. Ferner sei das Quadrat über $\delta\varepsilon$ = Rechteck $\varepsilon\alpha \cdot \alpha\vartheta$, und es werde $\varepsilon\vartheta$ im Punkte $\varkappa$ halbirt, da $\delta\varepsilon > \varepsilon\alpha$. Vom Punkte $\varkappa$ aus sei auf $\varepsilon\vartheta$ die Linie $\varkappa\lambda$ senkrecht gezogen, welche die $\zeta\eta$ im Punkte $\lambda$ schneidet, und um den Mittelpunkt $\lambda$ werde durch $\varepsilon$ die Peri- [*Command. XIV.*]

Hosted by Google

ἐπιζευχθεῖσαι αἱ εζ καὶ εη ἐκβεβλήθωσαν, κάθετοι ἤχθωσαν ἐπ᾽ αὐτὰς αἱ αμ, αν· καὶ τῷ μὲν ὑπὸ ημ ἴσον κείσθω ἑκάτερον τῶν ἀπὸ εο, επ, τῷ δὲ ὑπὸ [ζεν ἴσον κείσθω ἑκάτερον τῶν ἀπὸ] [1]) ερ, εσ. ἔσονται οὖν εὐρημένοι τῆς ἐλλείψεως ἄξονες οἱ οπ, ρσ, ὧν ὁ ἐλάχιστος ἴσος ἔσται τῷ τοῦ κυλίνδρου πάχει, καθὼς ἐν ἀρχῇ προείρηται.

**Σφαίρας** μετεώρου δοθεῖσαν θέσιν ἐχούσης πρὸς τὸ ὑποκείμενον, εὑρεῖν τὸ σημεῖον ἐφ᾽ ὃ πίπτει καθετικῶς ἐνεχθεῖσα, καὶ καθ᾽ ὃ πίπτει σημεῖον, καὶ τὴν ἐλαχίστην ἀποτεμνομένην ἀπὸ τῆς καθέτου μεταξὺ τῶν δύο σημείων τοῦ τε κατὰ τὴν ἐπιφάνειαν τῆς σφαίρας καὶ τοῦ κατὰ τὸ ἐπίπεδον. προγράφεται δὲ τὸ· κύκλου δοθέντος μετεώρου μὴ ἐν ὀρθῷ ἐπιπέδῳ πρὸς τὸ ὑποκείμενον, εὑρεῖν τὴν τε κοινὴν τομὴν τῶν ἐπιπέδων ἀμφοτέρων καὶ τὴν κλίσιν. ἔστω μετέωρος κύκλος καὶ εἰλήφθω ἐπ᾽ αὐτοῦ τρία σημεῖα τὰ α, β, γ, καὶ ἤχθωσαν ἀπ᾽ αὐτῶν ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον κάθετοι. ἀχθήσονται δὲ οὕτως· ἀπὸ τοῦ γ προσπεσοῦσα εὐθεῖα πρὸς τὸ ὑποκείμενον ἐπίπεδον ὡς ἡ γδ προσενηνέχθω καὶ ψαυέτω τοῦ ἐπιπέδου καθ᾽ ἕτερα δύο σημεῖα τὰ ε, ζ, καὶ εἰλήφθω τοῦ περὶ τὰ δ, ε, ζ κύκλου κέντρον τὸ κ, ἡ οὖν ἀπὸ τοῦ γ κάθετος ἐπὶ τὸ κ σημεῖον πεσεῖται. καὶ δοθὲν ἔσται τὸ γκ. ἤχθωσαν καὶ ἀπὸ τῶν α, β κάθετοι ὁμοίως αἱ βθ, αλ· ἐπιζευχθεῖσαι δὴ αἱ κλ, θλ ἐκβεβλήσθωσαν καὶ πεποιήσθω ὡς μὲν ἡ γκ πρὸς αλ οὕτως ἡ κμ πρὸς μλ, ὡς δὲ ἡ βθ πρὸς

[1]) Einschaltung von *Commandin*.

Hosted by Google

pherie eines Kreises beschrieben, welche die $\zeta\eta$ in den Punkten $\zeta$, $\eta$ schneidet. Man ziehe nun $\varepsilon\zeta$, $\varepsilon\eta$, verlängere sie und fälle auf sie die Senkrechten $\alpha\mu$, $\alpha\nu$. Ferner sei dem Rechteck $\eta\varepsilon . \varepsilon\mu$ ein jedes der Quadrate über $\varepsilon o$, $\varepsilon\pi$ gleich, dem Rechteck $\zeta\varepsilon . \varepsilon\nu$ ein jedes der Quadrate über $\varepsilon\varrho$, $\varepsilon\sigma$. Alsdann werden $o\pi$, $\varrho\sigma$ als die Axen der Ellipse gefunden sein, von denen die kleinste der Dicke des Cylinders gleich ist, wie zu Anfang gesagt wurde.




Eine Kugel schwebt in einer gegebenen Lage über einer Ebene, man soll den Punkt finden, auf welchen sie in senkrechter Richtung herabgelassen trifft, und in welchem sie die Ebene trifft, und ferner die kleinste Linie, die auf der Senkrechten zwischen diesen beiden Punkten, dem auf der Oberfläche der Kugel und dem in der Ebene, abgeschnitten wird. Hierzu wird Folgendes vorausgeschickt. Es schwebe über einer Ebene ein Kreis, jedoch so dass die Ebene desselben auf der letzteren nicht senkrecht steht, man soll den gemeinschaftlichen Durchschnitt beider Ebenen und die

[*Command. XV.*]



αλ οὕτως ἡ θο πρὸς ολ· δοθέντα ἄρα τὰ μ, ο, ἐφ' ἡμῖν γάρ ἐστι τοιαύτας καθέτους λαβεῖν ὥστε ἐλαχίστην αὐταῖς εἶναι μίαν ὡς τὴν αλ. εὐθεῖαι ἄρα αἱ μαγ, βαο, καὶ ἔσονται ἐν τῷ ἐπιπέδῳ τοῦ αβγ κύκλου, ἡ ἄρα κοινὴ τομὴ αὐτοῦ καὶ τοῦ ὑποκειμένου ἐπιπέδου [εὐθεῖά ἐστι ἡμο. ἤχθω ἀπὸ τοῦ λ κάθετος ἡ λν ἐπὶ τὴν μο, καὶ ἐπιζευχθεῖσα ἡ αν] κάθετος ἔσται ἐπὶ τὴν μο, πεπόρισται ἄρα καὶ ἡ ὑπὸ ανλ γωνία ιῶν ἐπιπέδων κλίσις.

Τούτου ὄντος, ἔστω σφαῖρα μετέωρος καὶ προσκείσθω τὸ τε σημεῖον εὑρεῖν ἐφ' ὃ πεσεῖται καθετικῶς ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον ἐνεχθεῖσα, καὶ τὴν ἐλαχίστην ἀποτεμνομένην ἀπὸ τῆς καθέτου μεταξὺ τῆς ἐπιφανείας καὶ τοῦ ἐπιπέδου. Ἔστω ἡ σφαῖρα μετέωρος κειμένη περὶ κέντρον τὸ ε καὶ ἐν αὐτῇ μέγιστός τις ἐγγεγράφθω κύκλος ὁ αβγ. ἤτοι δὴ ἐν ὀρθῷ ἐστιν ἐπιπέδῳ πρὸς τὸ ὑποκείμενον ἢ οὔ, γνωσόμεθα δὲ οὕτως· ..... [1]) ἐπὶ τῆς περιφερείας αὐτοῦ τρία τυχόντα σημεῖα, καθέτους ἄξομεν ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον, ὡς μεμαθήκαμεν, τὰ σημεῖα ἐφ' ἃ πίπτουσιν κάθετοι ἐπ' εὐθείας ἀλλήλοις, ὀρθὰ πρὸς ἄλληλα ἔσται τὰ ἐπίπεδα, εἰ δὲ μή, κεκλιμένα. ἔστω δὴ πρότερον ὀρθά, καὶ ἤχθωσαν ἀπὸ τῶν α, β σημείων κάθετοι, [ἔσονται ἤτοι ἴσαι] ἢ οὔ. ἔστωσαν ἴσαι καὶ ἐπιζευχθεῖσα ἡ δη τετμήσθω δίχα τῷ ζ, ἔσται δὴ τὸ ζ τὸ ζητούμενον σημεῖον ἐν τῷ ἐπιπέδῳ, ἡ δὲ διχοτομία τῆς αβγ περιφερείας τὸ β ἐπὶ τῆς ἐπιφανείας ἐφάρμοζον τῷ ζ, καὶ ἡ βζ ἐλαχίστη κάθετος, ὡς προείρηται.

---

[1]) Die Hdsch. hat hier ταῖς; es scheint mehreres zu fehlen.

Hosted by Google

Neigung derselben finden. Man nehme auf dem Kreise drei Punkte $\alpha$, $\beta$, $\gamma$ an und fälle von ihnen Senkrechte auf die Ebene, was wie folgt geschieht. Eine vom Punkt $\gamma$ auf die Ebene fallende Grade z. B. $\gamma\delta$ treffe die Ebene noch in zwei andern Punkten $\varepsilon$, $\zeta$, man bestimme den Mittelpunkt $\varkappa$ des Kreises, der durch die Punkte $\delta$, $\varepsilon$, $\zeta$ geht, so wird der Fusspunkt der Senkrechten vom Punkte $\gamma$ in den Punkt $\varkappa$ fallen. Demnach ist $\gamma\varkappa$ gegeben. Man fälle nun auf ähnliche Weise von den Punkten $\alpha$, $\beta$ die Senkrechten $\beta\vartheta$, $\alpha\lambda$, ziehe $\varkappa\lambda$, $\vartheta\lambda$ und verlängere sie und es sei $\gamma\varkappa : \alpha\lambda = \varkappa\mu : \mu\lambda$, $\beta\vartheta : \alpha\lambda = \vartheta o : o\lambda$, so sind die Punkte $\mu$, $o$ gegeben, denn wir können die Senkrechten immer so nehmen, dass eine unter ihnen z. B. $\alpha\lambda$ die kleinste ist. Es sind daher $\mu\alpha\gamma$, $\beta\alpha o$ gerade Linien und liegen in der Ebene des Kreises $\alpha\beta\gamma$; es ist demnach $\mu o$ der gemeinschaftliche Durchschnitt des Kreises mit der Ebene. Fällt man vom Punkte $\lambda$ auf $\mu o$ die Senkrechte $\lambda\nu$ und zieht $\alpha\nu$, so steht $\alpha\nu$ senkrecht auf $\mu o$, und es ist der Winkel $\alpha\nu\lambda$ als die Neigung der Ebenen gefunden.

Nachdem dies vorausgeschickt, schwebe [*Command. XVI.*] eine Kugel über der Ebene und es soll der Punkt gefunden werden, in welchem sie in senkrechter Richtung herabgelassen die Ebene trifft, und die kleinste Linie, die auf der Senkrechten zwischen der Oberfläche und der Ebene abgeschnitten wird.




Es habe die Kugel den Mittelpunkt $\varepsilon$ und es sei auf derselben ein grösster Kreis $\alpha\beta\gamma$ beschrieben. Ob dieser in einer zu der Ebene senkrechten Ebene liegt, oder nicht, werden wir auf folgende Weise erkennen. Fällen wir von drei auf dem Umfange desselben angenommenen Punkten Senkrechte auf die Ebene, wie oben gelehrt ist, und liegen die Punkte, in welche ihre Fusspunkte fallen, in einer geraden Linie, so werden die Ebenen auf einander senkrecht stehen, ist dies nicht der Fall, so werden sie gegen einander geneigt sein. Stehen sie zuerst senkrecht auf einander, und fällt man von $\alpha$, $\beta$ Senkrechte, so werden diese gleich sein oder

Hosted by Google

*Μὴ ἔστωσαν δὲ ἴσαι αἱ κάθετοι, ἀλλὰ ἐλαχίστη ἡ αδ, καὶ πεποιήσθω ὡς ἡ γη πρὸς αδ οὕτως ἡ ηϑ πρὸς ϑδ, ἐκβληϑείσης τῆς ηδ· ἔσται δὴ τὸ ϑ καϑ' ὃ ἡ ἀπὸ τοῦ γ ἐπὶ τὸ α συμπίπτει τῷ ὑποκειμένῳ ἐπιπέδῳ, καὶ δοϑεῖσα ἔσται ἥ τε αϑ εὐϑεῖα καὶ ἡ ὑπὸ αϑδ γωνία. τούτων γενομένων, ἐκκείσθω κύκλος ἴσος τῷ μεγίστῳ περὶ διάμετρον τὴν κλ, καὶ προσκείσθω ἡ λμ ἴση τῇ αϑ καὶ τῇ ὑπὸ αϑδ γωνίᾳ ἴση συνεστάσθω ἡ ὑπὸ κμν, καὶ ἀπὸ τῶν κ, λ κάθετοι αἱ λο, κν, καὶ ἀπὸ τοῦ κέντρου ἡ σπ, καὶ τῇ μὲν λρ περιφερείᾳ ἴση ἀπειλήφθω ἡ αβ, τῇ δὲ οπ εὐϑείᾳ ἴση ἡ δζ· τὸ δὲ αὐτὸ ἦν λέγειν δίχα ἡ δη τῷ ζ. ἔσται οὖν τὸ μὲν ζ σημεῖον ἐφ' ὃ ἡ σφαῖρα ἀφαιρουμένη πεσεῖται, τὸ δὲ β ἐπὶ τῆς ἐπιφανείας, ἡ δὲ ἐλαχίστη κάθετος ἡ βζ [τῇ ρπ] [1]) ἴση ἐστίν.*

*Μὴ ἔστω δὲ ὁ αβγ κύκλος ἐν ἑνὶ ἐπιπέδῳ ὀρϑῷ πρὸς τὸ ὑποκείμενον, καὶ εἰλήφϑω ἡ κοινὴ τῶν ἐπιπέδων τομὴ ἡ δϑ, καὶ εἰλήφϑω ἐπὶ τοῦ αβγ κύκλου σημεῖα τὰ α, γ κατὰ διάμετρον ἀλλήλοις κείμενα, οὕτως ὥστε ιὴν ἐπ' αὐτὰ ἐπιζευγνυμένην τὴν γα συμπίπτειν τῇ κοινῇ τομῇ τῇ δϑ, ἔστι γὰρ ἐπ'*

[1]) Die Hdsch. hat ἡ ἴση.

Hosted by Google

nicht. Sind sie gleich, und zieht man $\delta\eta$ und halbirt sie in $\zeta$, so ist $\zeta$ der gesuchte Punkt in der Ebene, der Punkt $\beta$ die Mitte des Bogens $\alpha\beta\gamma$ der Punkt der Oberfläche der Kugel, welcher dem Punkt $\zeta$ entspricht, und $\beta\zeta$ die kleinste Senkrechte, wie oben gesagt ist.

Sind aber die Senkrechten nicht gleich, und ist $\alpha\delta$ die kleinste, und ist ferner, wenn $\eta\delta$ verlängert wird, $\gamma\eta : \alpha\delta = \eta\vartheta : \vartheta\delta$, so wird $\vartheta$ der Punkt sein, in welchem die Linie $\gamma\alpha$ die Ebene schneidet, und es ist sowohl $\alpha\vartheta$ als der Winkel $\alpha\vartheta\delta$ gegeben. Ist dies der Fall, so beschreibe man einen dem grössten Kugelkreise gleichen Kreis mit dem Durchmesser $\varkappa\lambda$; es sei $\lambda\mu = \alpha\vartheta$, $\angle\varkappa\mu\nu = \angle\alpha\vartheta\delta$, und von den Punkten $\varkappa$, $\lambda$ fälle man die Senkrechten $\lambda o$, $\varkappa\nu$ und von dem Mittelpunkt die Senkrechte $\sigma\pi$; ferner sei Bogen $\alpha\beta$ = Bogen $\lambda\varrho$, $o\pi = \delta\zeta$; hiermit geschieht aber dasselbe als wenn wir sagten, dass $\delta\eta$ im Punkte $\zeta$ halbirt wird. Demnach wird $\zeta$ der Punkt sein, in welchem die herabgelassene Kugel die Ebene trifft, $\beta$ der Punkt der Oberfläche, und die kleinste Senkrechte $\beta\zeta$ ist der $\varrho\pi$ gleich.




Steht nun die Ebene des Kreises $\alpha\beta\gamma$ nicht senkrecht auf der Ebene, und ist $\delta\vartheta$ der gemeinschaftliche Durchschnitt beider Ebenen, so nehme man auf dem Kreise die $\alpha$, $\gamma$ an, so dass sie die Endpunkte eines Durchmessers sind und zwar so, dass die Linie $\gamma\alpha$ den gemeinschaftlichen Durchschnitt $\delta\vartheta$ trifft, was immer



Hosted by Google

ἐμοὶ διὰ τὸ τὴν δϑ ἐν τῷ τοῦ αβγ κύκλου ἐπιπέδῳ εἶναι. συμπιπτέτω κατὰ τὸ ϑ· δοϑεῖσα ἄρα ἡ αϑ καὶ ἡ ϑ γωνία. ἤχϑω ἀπὸ τοῦ ε κέντρου κάϑετος ἐπὶ τὴν δϑ ἡ εβδ. ἀχϑήσεται οὕτως· ἐκκείσϑω κύκλος ὁ ζλη ἴσος τῷ μεγίστῳ τῷ αβγ περὶ διάμετρον τὴν ζη, καὶ προσκείσϑω ἡ ηκ ἴση τῇ γϑ, καὶ τῇ ὑπὸ αϑδ γωνίᾳ ἴση συνεστάτω ἡ ὑπὸ ζκμ, καὶ ἀπὸ τοῦ ο κέντρου κάϑετος ἡ ολμ, καὶ τῇ μὲν ηλ περιφερείᾳ ἴση ἀπειλήφϑω ἡ γβ, τῇ δὲ κμ εὐϑεῖα ἡ βδ, ἡ δβ ἄρα ἴση ἐστὶ τῇ μλ καὶ κάϑετός ἐστιν ἐπὶ τὴν δϑ καὶ ἐκβαλλομένη ἐπὶ τὸ ε κέντρον πίπτει· ταῦτα γὰρ δῆλα ἐκ τῆς ὁμοιότητος. ἤχϑω δὴ τῇ δϑ πρὸς ὀρϑὰς ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ ἡ δι, ἡ δϑ ἄρα ὀρϑὴ πρὸς τὸ διὰ τῶν ε, δ, ι ἐπίπεδον, ὥστε καὶ ὁ αβγ κύκλος ὀρϑὸς πρὸς τὸ διὰ τῶν ε, δ, ι ἐπίπεδον· ἐκβληϑὲν ἄρα τὸ διὰ ε, δ, ι ἐπίπεδον κύκλον ποιήσει ἐν τῇ σφαίρᾳ μέγιστον ὀρϑὸν πρὸς τὸν αβγ διὰ τῶν πόλων αὐτοῦ πίπτοντα καὶ διὰ τῶν β, ο σημείων, ὥστε ἐὰν τοῦ αβγ τὸν πόλον λαβόντες τὸν π διὰ τῶν π καὶ ἑκατέρου τῶν β, ο γράψωμεν κύκλον, οὕτως ἔσται ὁ γινόμενος μέγιστος ἐν τῇ σφαίρᾳ, ὑπὸ δὲ τοῦ διὰ τῶν ε, δ, ι ἐπιπέδου. γεγράφϑω βπο, καὶ ἐκκείσϑω πάλιν κύκλος ὁ ρντ περὶ διάμετρον τὴν ρτ καὶ προσκείσϑω ἡ ρφ ἴση τῇ βδ καὶ τῇ ὑπὸ βδι γωνίᾳ ἴση ἡ ὑπὸ ρφξ καὶ ἀπὸ τοῦ λ κέντρου κάϑετος ἡ λνξ καὶ τῇ μὲν ρν περιφερείᾳ ἴση ἀπειλήφϑω ἐπὶ τοῦ πβο κύκλου ἡ βυ, τῇ δὲ φξ ἴση ἡ δι. ἐπεζεύχϑω ἄρα ἡ ιυ, ἴση ἔσται τῇ ξν καὶ ἐκβαλλομένη ἐπὶ τὸ ε κέντρον πεσεῖται καὶ ἔσται κάϑετος ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον, ἔστι καὶ ἐπὶ τὴν ιδ. τὸ μὲν ἄρα ι σημεῖον ἔσται ἐφ' ὃ πίπτει [ἡ σφαῖρα, καὶ τὸ υ καϑ' ὃ πίπτει], ἡ δὲ ἐλαχίστη κάϑετος ἡ ιυ.

Hosted by Google

möglich ist, da $\delta\vartheta$ in der Ebene des Kreises liegt. Der Durchschnittspunkt sei $\vartheta$, so ist $\alpha\vartheta$ und der Winkel $\vartheta$ gegeben. Man fälle nun von dem Mittelpunkt $\varepsilon$ auf $\delta\vartheta$ die Senkrechte $\varepsilon\beta\delta$, was auf folgende Weise geschieht: Um den Durchmesser $\zeta\eta$ sei der Kreis $\zeta\lambda\eta$, der dem grössten Kugelkreise gleich ist, beschrieben; es sei $\eta\varkappa = \gamma\vartheta$, $\angle\ \zeta\varkappa\mu = \angle\ \alpha\vartheta\delta$; vom Mittelpunkt $o$ sei die Senkrechte $o\lambda\mu$ gefällt, und Bogen $\eta\lambda$=Bogen $\gamma\beta$ $\varkappa\mu = \beta\delta$, so ist $\beta\delta = \mu\lambda$ und senkrecht auf $\vartheta\delta$ und trifft verlängert den Mittelpunkt $\varepsilon$, was aus der Aehnlichkeit folgt. Zieht man nun







in der Ebene auf $\delta\vartheta$ die Linie $\delta\iota$ senkrecht, so steht die Linie $\delta\vartheta$ auf der durch $\varepsilon$, $\delta$, $\iota$ gelegten Ebene senkrecht, daher ist auch der Kreis $\alpha\beta\gamma$ auf der durch $\varepsilon$, $\delta$, $\iota$ gelegten Ebene senkrecht.



Hosted by Google

Σφαίρας ὑποκειμένης καὶ σημείου δοθέντος ἐκτὸς αὐτῆς, εὑρεῖν τὸ σημεῖον καθ' ὃ ἡ ἀπὸ τοῦ δοθέντος ἐπὶ τὸ κέντρον ἐπιζευγνυμένη τέμνει τὴν ἐπιφάνειαν. Ἔστι δὲ φανερόν· ἂν γὰρ ἡ ἀπὸ τοῦ δοθέντος εὐθεῖα προσπεσοῦσα πρὸς τὴν ἐπιφάνειαν περιενεχθῇ καὶ αὕτη γράψει κύκλον, καὶ πόλος αὐτοῦ τὸ ζητούμενον ἔσται σημεῖον.

Ὑποκείσθω πάλιν ἡ σφαῖρα καὶ δύο σγμεῖα δεδόσθω τῇ ἐπιφανείᾳ ἐκτὸς ἀμφότερα, καὶ προσκείσθω τὰ σημεῖα λαβεῖν καθὰ ἡ ἐπὶ τὰ δοθέντα ἐπιζευγνυμένη τέμνει τὴν ἐπιφάνειαν. Κείσθω γὰρ ἡ σφαῖρα περὶ κέντρον τὸ β, καὶ τὰ δοθέντα σημεῖα ἐκτὸς ἔστω τὰ α, γ, καὶ καθ' ἃ συμβάλλουσιν τῇ ἐπιφανείᾳ αἱ ἀπὸ τῶν α, γ ἐπὶ τὸ β ἐπιζευγνύμε-

Hosted by Google

Erweitert man nun die durch $\varepsilon$, $\delta$, $\iota$ gelegte Ebene, so wird sie die Kugel in einem grössten Kreise schneiden, der auf dem Kreise $\alpha\beta\gamma$ senkrecht steht, durch die Pole desselben geht und ihn in den Punkten $\beta$, $o$ schneidet, so dass wenn wir $\pi$ als den Pol des Kreises $\alpha\beta\gamma$ nehmen und durch ihn und die Punkte $\beta$, $o$ einen Kreis beschreiben, derselbe der grösste Kugelkreis sein und in der Ebene $\varepsilon$, $\delta$, $\iota$ liegen wird. Es sei also der Kreis $\beta\pi o$ beschrieben; man construire nun wiederum den Kreis $\varrho\nu\tau$ um den Durchmesser $\varrho\tau$, ferner sei $\varrho\varphi = \beta\delta$, $\angle\, \varrho\varphi\xi = \angle\, \beta\delta\iota$; vom Mittelpunkt $\lambda$ sei die Senkrechte $\lambda\nu\xi$ gefällt,




Bogen $\beta v$ des Kreises $\pi\beta o$ = Bogen $\varrho\nu$, $\varphi\xi = \delta\iota$, so wird, wenn man $\iota v$ zieht, $\iota v = \xi\nu$ sein und verlängert den Mittelpunkt $\varepsilon$ treffen und auf der Ebene, mithin auch auf $\delta\iota$ senkrecht stehen. Der Punkt $\iota$ wird also der Punkt sein, auf welchen die Kugel fällt, der Punkt $v$, in welchem sie fällt, und $\iota v$ die kleinste Senkrechte.

Es ist eine Kugel und ausserhalb derselben ein Punkt gegeben; man soll den Punkt finden, in welchem die Linie, welche den gegebenen Punkt mit dem Mittelpunkt verbindet, die Oberfläche der Kugel schneidet. [*Command. XVII.*]

Dies ist sehr leicht; wenn nämlich die Gerade, die von dem gegebenen Punkt bis zur Oberfläche gezogen ist, auf der Oberfläche herumgeführt wird und einen Kreis beschreibt, so ist der Pol desselben der Punkt, welcher gesucht wird.

Es sind wiederum eine Kugel und zwei Punkte ausserhalb der Oberfläche gegeben; man soll die Punkte finden, in welchen die Linie, welche die gegebenen Punkte verbindet, die Oberfläche der Kugel schneidet. [*Command. XVIII.*]

Der Mittelpunkt der Kugel sei $\beta$, die ausserhalb derselben gegebenen Punkte $\alpha$, $\gamma$, und $\delta$, $\varepsilon$ die Punkte, in welchen die von

Hosted by Google

ναι εἰλήφθω σημεῖα τὰ δ, ε, γεγράφθω μέγιστος κύκλος ὁ δεζη, δοθεῖσαι ἄρα αἱ αδ, γε, . . . λῆπται [1]) γὰρ, καὶ διὰ τὸ δεδόσθαι τὴν ἐκ τῆς σφαίρας τοῦ β κέντρου, καὶ ὅλαι δοθήσονται αἱ αβ, γβ· ἔστι δὲ καὶ ἡ τὰ δοθέντα ἐπιζευγνύουσα ἡ αγ δοθεῖσα. ἐκ τριῶν οὖν τῶν αβ, αγ, γβ τρίγωνον συνεστάτω τὸ θκλ, καὶ περὶ κέντρον τὸ θ γεγράφθω κύκλος ἴσος τῷ εδζη ὁ σμνο. ἐὰν μὲν οὖτος τέμνῃ τὴν κλ, δῆλον ὅτι καὶ ἡ ἐπὶ τὰ α, γ ἐπιζευγνυμένη τέμνει τὴν σφαῖραν εἰ δὲ μὴ, οὐ τέμνει. τεμνέτω οὖν ὁ κύκλος τὴν κλ κατὰ τὰ μ, ν, καὶ τῇ μὲν σμ περιφερείᾳ, ἴσῃ ἀπειλήφθω ἡ δη, τῇ δὲ ον ἡ εζ, φανερὸν δὴ ὅτι τὰ η, ζ σημεῖα ἔσται καθ' ἃ τέμνει ἡ ἐπιζευγνύουσα τὰ α, γ σημεῖα τὴν τῆς σφαίρας ἐπιφά-

*Χρήσιμα καὶ τὰ ἐν τοῖς ἰδίοις λεγομένοις ὀργανικοῖς καὶ μάλιστα ὅταν ἐπὶ τὸ εὔκολον ὑπὸ τῆς ἀναλύσεως χειραγωγούμενα τὴν ἀνάλογον πεῖραν διαφεύγειν δύνηται, οἷον εἰς τὸν δοθέντα κύκλον ἑπτὰ ἑξάγωνα ἐγγράψαι, τὸ μὲν περὶ τὸ αὐτὸ κέντρον τῷ κύκλῳ, τὰ δὲ λοιπὰ ἓξ ἀπὸ μὲν τῶν τοῦ μέσου πλευρῶν ἀναγεγραμμένα, τὰς δὲ ἀντικειμένας πλευρὰς ἔχοντα ἐνηρμοσμένας ἑκάστην τῇ τοῦ κύκλου περιφερείᾳ* [2]). *Ἔστω ὁ δοθεὶς κύκλος περὶ κέντρον τὸ η, καὶ κείσθω περὶ τὸ αὐτὸ κέντρον ἑξαγώνου πλευρὰ ἡ θκ, οὕτως ἔσται* [3]) *τὸ ἀπὸ τῆς θκ ἀναγραφὲν ἑξάγωνον τὴν μν πλευρὰν ἔχειν ἐνηρμοσμένην τῇ τοῦ κύκλου περιφερείᾳ. καὶ ἐπεζεύχθω ἡ ηκ, ἐπ' εὐθείας ἄρα*

---

[1]) Das Wort ist in der Hdsch. nicht vollständig.

[2]) Die Hdsch. hat *τὰ δὲ ἀντικειμένας . . . τὴν τοῦ κύκλου περιφέρειαν.*

[3]) So die Hdsch. vielleicht ist zu lesen *ὥστε.*

Hosted by Google




$\alpha$, $\gamma$ nach $\beta$ gezogenen Linien die Oberfläche der Kugel schneiden. Beschreibt man den grössten Kreis $\delta\varepsilon\zeta\eta$, so sind $\alpha\delta$, $\gamma\varepsilon$ gegeben ..... und weil der Halbmesser der Kugel gegeben ist, so sind auch die ganzen Linien $\alpha\beta$, $\beta\gamma$ gegeben; es ist aber auch $\alpha\gamma$, welche die gegebenen Punkte verbindet, gegeben. Man construire nun aus den drei Linien $\alpha\beta$, $\alpha\gamma$, $\gamma\beta$ das Dreieck $\vartheta\varkappa\lambda$ und beschreibe um $\vartheta$ als Mittelpunkt den Kreis $\sigma\mu\nu o$, der dem Kreise $\varepsilon\delta\zeta\eta$ gleich ist. Schneidet dieser Kreis die Linie $\varkappa\lambda$, so schneidet offenbar auch die Linie $\alpha\gamma$ die Kugel; ist jenes nicht der Fall, so wird auch die Linie $\alpha\gamma$ die Kugel nicht schneiden. Es schneide nun der Kreis die Linie $\varkappa\lambda$ in den Punkten $\mu$, $\nu$, und es sei Bogen $\delta\eta$ = Bogen $\sigma\mu$, Bogen $\varepsilon\zeta$ = Bogen $o\nu$, so werden offenbar $\eta$, $\zeta$ die Punkte sein, in welchen die Linien, welche die Punkte $\alpha$, $\gamma$ verbindet, die Oberfläche der Kugel schneidet.

Auch die unter den eigentlich soge- [*Command. XIX.*]
nannten organischen Constructionen sind nützlich, besonders wenn sie hinreichend von der Analysis unterstützt im Stande sind das entsprechende Probiren zu vermeiden, z. B. in einen gegebenen Kreis sieben (reguläre) Sechsecke einzuschreiben, so dass das eine denselben Mittelpunkt mit dem Kreise hat, die übrigen sechs auf den Seiten des mittleren stehen und eine jede der diesen gegenüberliegenden Seiten in die Peripherie des Kreises eingefügt ist.

Der gegebene Kreis habe den Mittelpunkt $\eta$, $\vartheta\varkappa$ sei die Seite des um denselben Mittelpunkt beschriebenen Sechsecks, so dass das auf der Seite $\vartheta\varkappa$ stehende Sechseck die Seite $\mu\nu$ in die Peripherie des Kreises eingefügt enthält. Zieht man $\eta\varkappa$, so liegt diese mit der Seite $\varkappa\lambda$ des Sechsecks in einer geraden Linie, da

Hosted by Google

ἐστὶν τῇ κλ πλευρᾷ τοῦ ἑξαγώνου, διὰ τὸ διμοίρου μὲν εἶναι τὴν ὑπὸ ηκϑ, ὀρϑῆς δὲ καὶ τρίτου τὴν ὑπὸ ϑκλ. ἐπεζεύχϑω ἡ ην, ἐπεὶ ἴσαι αἱ ηκ, κλ, διπλῆ ἐστιν ἡ ηλ τῆς λν, καὶ δοϑεῖσα ἡ λ γωνία, ὀρϑῇ γὰρ καὶ τρίτου [1]), δοϑὲν ἄρα τὸ ηλν τρίγωνον τῷ εἴδει, λόγος ἄρα τῆς ην πρὸς νλ· καὶ δοϑεῖσα ἡ ην, δοϑεῖσα ἄρα καὶ ἡ νλ πλευρὰ τοῦ ἑξαγώνου. Τὸ δὲ ὀργανικὸν οὕτως· ἐκκείσϑω τῆς ἐκ τοῦ κέντρου τοῦ κύκλου τρίτον μέρος ἡ αγ, καὶ ἀπ᾽ [2]) αὐτῆς τμῆμα κύκλου τὸ αβγ γωνίαν δεχόμενον δίμοιρον ὀρϑῆς, καὶ οἷον ἐστὶν ἡ αε ϑ̄, τοιούτων δ̄ ἀπειλήφϑω ἡ γε, καὶ ἤχϑω ἐφαπτομένη ἡ βε· λέγω ὅτι ἡ αβ ἐπιζευχϑεῖσα ἴση ἐστὶν τῇ ϑκ τοῦ ἑξαγώνου πλευρᾷ. ἐκβεβλήσϑω ἡ βγ καὶ τῇ αβ ἴση ἀφῃρήσϑω ἡ βδ, ἰσόπλευρον ἄρα τὸ αβδ, καὶ τῇ ἐκ τοῦ κέντρου τοὺ κύκλου ἴση ἡ αζ. ἐπεὶ ἡ αε πρὸς εγ λόγον ἔχει ὃν τὰ ϑ̄ πρὸς τέσσαρα ἔξει, καὶ τὸ ἀπὸ αβ πρὸς τὸ ἀπὸ βγ τὸν αὐτὸν λόγον, ἡμιολία ἄρα ἡ αβ, τουτέστιν ἡ βδ [τῆς βγ], διπλῆ ἄρα ἡ βγ τῆς γδ. ἀλλὰ καὶ ἡ ζγ τῆς γα, καὶ ἡ ζβ ἄρα ἐπιζευχϑεῖσα τῆς αδ, τουτέστι τῆς αβ, ἔστι διπλῆ. ἦν δὲ καὶ ἡ ηλ τῆς λν διπλῆ, καὶ ἴσας περιέχουσι γωνίας, ὅμοιον ἄρα τὸ αβζ τρίγωνον τῷ ηνλ τριγώνῳ. καὶ ἔστιν ἴση ἡ αζ τῇ νη, ἴση ἄρα καὶ ἡ αβ τῇ λν ἢ τῇ ϑκ.

---

[1]) Vielleicht zu lesen τρίτῳ.

[2]) Vielleicht zu lesen ἐπ᾽.

Hosted by Google

$\angle\ \eta\varkappa\vartheta = \frac{2}{3}$ R und $\angle\ \vartheta\varkappa\lambda = \frac{4}{3}$ R. Zieht man ferner $\eta\nu$, so




ist, da $\eta\varkappa = \varkappa\lambda$, $\eta\lambda = 2\,\lambda\nu$, und $\angle\ \lambda$ gegeben ist, denn er ist $= \frac{4}{3}$ R, auch Dreieck $\eta\lambda\nu$ der Form nach gegeben, mithin auch das Verhältniss $\eta\nu : \nu\lambda$; aber es ist $\eta\nu$ gegeben, mithin auch $\nu\lambda$, die Seite des Sechsecks.

Die organische Construction geschieht auf folgende Weise. Es sei $\alpha\gamma$ der dritte Theil des Halbmessers des Kreises, über derselben werde ein Kreisabschnitt $\alpha\beta\gamma$ beschrieben, der einen Winkel $= \frac{2}{3}$ R fasst, und von den neun Theilen, welche auf die Linie $\alpha\varepsilon$ kommen, enthalte $\gamma\varepsilon$ vier Theile; ferner ziehe man die Tangente $\beta\varepsilon$, so wird behauptet, dass die Linie, welche die Punkte $\alpha$, $\beta$ verbindet, gleich der Seite $\vartheta\varkappa$ des Sechsecks ist. Man verlängere $\beta\gamma$, mache $\beta\delta = \alpha\beta$, es ist mithin das Dreieck $\alpha\beta\delta$ gleichseitig, und $\alpha\zeta$ sei gleich dem Radius des Kreises. Da $\alpha\varepsilon : \varepsilon\gamma = 9 : 4$ und Quadrat über $\alpha\beta$ : Quadrat über $\beta\gamma = 9 : 4$, so ist $\alpha\beta$ d. h. $\beta\delta = \frac{3}{2}\beta\gamma$, mithin $\beta\gamma = 2\,\gamma\delta$; aber auch $\zeta\gamma = 2\,\gamma\alpha$, mithin $\zeta\beta = 2\,\alpha\delta = 2\,\alpha\beta$. Es war nun $\eta\lambda = 2\,\lambda\nu$, und da sie gleiche Winkel einschliessen, so ist $\triangle\ \alpha\beta\zeta \sim \triangle\ \eta\nu\lambda$. Da aber $\alpha\zeta = \nu\eta$, so ist $\alpha\beta = \lambda\nu = \vartheta\varkappa$.




Hosted by Google

Τὸ αὐτὸ ἄλλως σαφέστερον. ἔστω τῇ ἐκ τοῦ κέντρου τοῦ δοθέντος κύκλου ἡ αζ, καὶ ἀπειλήφθω αὐτῆς τὸ $\overline{γ}$ μέρος, καὶ ἔστω ἡ αγ ἐφ' ἧς τμῆμα κύκλου γεγράφθω τὸ $\underline{αβγ}$ δεχόμενον γωνίαν διμοίρου ὀρθῆς, καὶ οἵων ἐστὶν ἡ αγ ε, τοιούτων [$\overline{δ}$] ἀπειλήφθω [ἡ γε, καὶ ἤχθω] ἐφαπτομένη τοῦ τμήματος ἡ εβ, καὶ ἐπεζεύχθω ἥ τε αβ καὶ ἡ ζβ, καὶ ἔτι ἐπιζευχθεῖσα ἡ βγ ἐκβεβλήσθω ἐπὶ τὸ δ, καὶ κείσθω τῇ αβ ἴση ἡ βδ καὶ ἐπεζεύχθω [ἡ αδ]. ἐπεὶ οὖν εἰς κύκλον διήχθωσαν ἥ τε εγα καὶ ἡ εβ, καὶ ἡ μὲν τέμνει τὸν κύκλον, ἡ δὲ ἐφάπτεται, τὸ ἄρα ὑπὸ αεγ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς εβ. ἔστιν ἄρα ὡς ἡ αε πρὸς εβ οὕτως ἡ βε πρὸς γε. ἰσογώνιον ἄρα τὸ γβε τρίγωνον τῷ αβε τριγώνῳ. ἔστιν ἄρα ὡς ἡ αε πρὸς αβ [οὕτως] ἡ εβ πρὸς βγ, καὶ ὡς ἄρα τὸ ἀπὸ τῆς αε πρὸς τὸ ἀπὸ τῆς εβ [οὕτω] τὸ ἀπὸ τῆς αβ πρὸς τὸ ἀπὸ τῆς βγ· ἀλλ' ὡς τὸ ἀπὸ τῆς $\underline{αε}$ πρὸς τὸ ἀπὸ τῆς εβ οὕτως ἐστὶν ἡ αε πρὸς εγ, $\overline{α}$ τοῦ $\overline{ς}$. καὶ ὡς ἄρα ἡ αε πρὸς εγ οὕτω τὸ ἀπὸ τῆς αβ, τουτέστι τὸ ἀπὸ τῆς βδ, πρὸς τὸ ἀπὸ τῆς βγ. τὸ ἄρα ἀπὸ τῆς βδ πρὸς τὸ ἀπὸ τῆς βγ λόγον ἔχει ὃν τὰ $\overline{θ}$ πρὸς δ, ἡμιολία ἄρα ἡ βδ τῆς βγ, διπλασία ἡ βγ τῆς γδ· ἔστι δὲ καὶ ἡ ζγ τῆς γα διπλασία, ὡς ἄρα ἡ ζλ πρὸς γα [οὕτως] ἡ βγ πρὸς γδ, καὶ ἴσαι εἰσὶν αἱ πρὸς τῷ γ γωνίαι, ἴση ἄρα καὶ ἡ μὲν δ γωνία τῇ ὑπὸ ζβγ, ἡ δὲ ζ τῇ ὑπὸ γαδ· ἔστιν ἄρα ὡς ἡ ζβ πρὸς βγ οὕτως ἡ αδ πρὸς δγ. ἐναλλὰξ ὡς ἡ ζβ πρὸς αδ οὕτως ἡ βγ πρὸς γδ. διπλασία δὲ ἡ βγ τῆς γδ, διπλασία ἄρα καὶ ἡ ζβ τῆς αδ, τουτέστι τῆς αβ. καὶ ἔστι διμοίρου [ἡ] δ, διμοίρου ἄρα ὀρθῆς καὶ ἡ ὑπὸ ζβγ, ὅλη δὲ ἡ ὑπὸ αβζ μιᾶς ὀρθῆς καὶ $\overline{γ}$. ἐὰν οὖν ἐχώμεθα κύκλον, οὗ κέντρον τὸ η, ἴσον ἔχοντα τὴν ἐκ τοῦ κέντρου τῇ αζ εὐθείᾳ, καὶ διαγάγωμεν ἀπὸ τοῦ κέντρου αὐτοῦ τὴν ηξ εὐθεῖαν, καὶ ἴσην θῶμεν τῇ ζβ τὴν ηλ εὐθεῖαν, καὶ πρὸς τὴν ηλ εὐθεῖαν καὶ τῷ λ σημείῳ ἴσην γωνίαν συστησώμεθα τὴν ὑπὸ ηλν τῇ ὑπὸ ζβα, καὶ ἐπιζεύξωμεν τὴν ην, ἰσογώνιον γίνεται τὸ ηλν τρίγωνον τῷ αζβ τριγώνῳ· καὶ ἔστιν ἡ αζ ἴση τῇ ην, ἴση ἄρα καὶ ἡ νλ τῇ αβ, καὶ φανερὸν ὅτι ἀπὸ τῆς ἴσης τῇ αβ εὐθείᾳ γίνεται ἡ τῶν $\overline{ζ}$ εἰς τὸν κύκλον ἐξαγώνων ἐγγραφή.

Πῶς δὲ καὶ ἡ τῶν προειρημένων τυμπάνων γίνεται παράθεσις, νῦν ἐροῦμεν. ἔστω γὰρ δύο τύμπανα ἔντορνα καὶ

Ebendasselbe deutlicher. Es sei $\alpha\zeta$ = dem Radius des Kreises, man schneide auf ihm den dritten Theil ab = $\alpha\gamma$, über dieser Linie werde ein Kreisabschnitt $\alpha\beta\gamma$ beschrieben, der einen Winkel = $\frac{2}{3}$ R fasst und von den fünf Theilen, die auf $\alpha\gamma$ kommen, enthalte $\gamma\varepsilon$ vier Theile. Man ziehe an den Kreisabschnitt die Tangente $\varepsilon\beta$, ziehe $\alpha\beta$, $\zeta\beta$, $\beta\gamma$ und verlängere die letztere bis $\delta$, es sei $\beta\delta = \alpha\beta$, und ziehe $\alpha\delta$. Da nun die Linien $\varepsilon\gamma\alpha$, $\varepsilon\beta$ an den Kreis gezogen sind, von welchen die eine den Kreis schneidet, die andere ihn berührt, so ist Rechteck $\alpha\varepsilon \cdot \varepsilon\gamma$ = Quadrat über $\varepsilon\beta$, mithin $\alpha\varepsilon : \varepsilon\beta = \beta\varepsilon : \gamma\varepsilon$, folglich $\triangle\ \gamma\beta\varepsilon$ mit $\triangle\ \alpha\beta\varepsilon$ gleichwinklig. Daher ist $\alpha\varepsilon : \alpha\beta = \varepsilon\beta : \beta\gamma$, folglich Quadrat über $\alpha\varepsilon$ : Quadrat über $\varepsilon\beta$ = Quadrat über $\alpha\beta$ : Quadrat über $\beta\gamma$; aber Quadrat über $\alpha\varepsilon$ : Quadrat über $\varepsilon\beta$ = $\alpha\varepsilon : \varepsilon\gamma$ (Elemente VI. 1), mithin $\alpha\varepsilon : \varepsilon\gamma$ = Quadrat über $\alpha\beta$ (d. h. Quadrat über $\delta\beta$) : Quadrat über $\beta\gamma$, folglich Quadrat über $\delta\beta$ : Quadrat über $\beta\gamma = 9:4$,
demnach $\delta\beta = \frac{3}{2}\beta\gamma$, $\beta\gamma = 2\gamma\delta$;
es ist aber $\zeta\gamma = 2\gamma\alpha$,
mithin $\zeta\gamma : \gamma\alpha = \beta\gamma : \gamma\delta$,
und da die Winkel bei $\gamma$ einander gleich sind,
so ist $\angle\ \delta = \angle\ \zeta\beta\gamma$, $\angle\ \zeta = \angle\ \gamma\alpha\delta$,
daher $\zeta\beta : \beta\gamma = \alpha\delta : \delta\gamma$
oder $\zeta\beta : \alpha\delta = \beta\gamma : \gamma\delta$;
aber $\beta\gamma = 2\gamma\delta$, mithin $\zeta\beta = 2\alpha\delta = 2\alpha\beta$.
Nun ist $\angle\ \delta = \frac{2}{3}$ R, folglich auch $\angle\ \zeta\beta\gamma = \frac{2}{3}$ R, und
$\angle\ \alpha\beta\zeta = \frac{4}{3}$ R.

Haben wir nun einen Kreis mit dem Mittelpunkt $\eta$, dessen Radius = $\alpha\zeta$, ziehen vom Mittelpunkt aus die Linie $\eta\xi$, nehmen $\eta\lambda = \zeta\beta$, legen an $\eta\lambda$ im Punkte $\lambda$ den Winkel $\eta\lambda\nu = \angle\ \zeta\beta\alpha$ an, ziehen $\eta\nu$, so ist das Dreieck $\eta\lambda\nu$ mit dem Dreieck $\alpha\zeta\beta$ gleichwinklig. Es ist aber $\alpha\zeta = \eta\nu$, mithin auch $\nu\lambda = \alpha\beta$. Demnach ist deutlich, dass die Einschreibung der sieben Sechsecke in den Kreis mit Hülfe der Linie, die = $\alpha\beta$ ist, geschieht.

Wir wollen jetzt erörtern, wie die Au- [*Command.* XX.]
einanderfügung der oben erwähnten Scheiben geschieht. Es seien

Hosted by Google

παρακείμενα ἀλλήλοις τὰ α, β, καὶ ἔστω ὡς ἡ διάμετρος τοῦ α πρὸς τὴν διάμετρον τοῦ β οὕτω τὸ πλῆθος τῶν ὀδόντων τοῦ α πρὸς τὸ πλῆθος τῶν ὀδόντων τοῦ β· οὕτω γὰρ ἡ παράθεσις τῶν τυμπάνων σώζεται, διὰ τὸ εἶναι ὡς τὴν περίμετρον τοῦ κύκλου πρὸς τὴν περίμετρον οὕτω τὴν διάμετρον πρὸς τὴν διάμετρον· τοῦτο γὰρ ἐξῆς. ὑποκείσθω δὴ τὸ α ὀδόντων $\bar{\xi}$, τὸ δὲ β ὀδόντων τεσσαράκοντα, λέγω ὅτι ἐστὶν ὡς τὸ τάχος τοῦ α πρὸς τὸ τάχος τοῦ β οὕτω τὸ πλῆθος τῶν ὀδόντων τοῦ β πρὸς τὸ πλῆθος τῶν ὀδόντων τοῦ α. ἐπεὶ γὰρ παράκειται ἀλλήλοις τὰ α, β, ὅσους ἐὰν ὀδόντας κινηθῇ τὸ β, τοσούτους ὀδόντας κινήσεται καὶ τὸ α· ὅταν ἄρα τὸ β στρεφόμενον μίαν ἀποκατάστασιν ποιήσεται, τότε τὸ α $\bar{\mu}$ ὀδόντας κινηθήσεται, ὥστε καὶ ὅταν τὸ β $\bar{\xi}$ ἀποκαταστάσεις ποιήσεται, ὅσον ἐστὶ τὸ πλῆθος τῶν ὀδόντων τοῦ α, τότε τὸ α ὀδόντας κινηθήσεται $\bar{\beta\upsilon}$, ὅσον ἐστὶ τὸ πλῆθος τῶν ὀδόντων τοῦ α πρὸς τὸ πλῆθος τῶν ὀδόντων τοῦ β. ὁμοίως δὲ δειχθήσεται καὶ ὅταν τὸ α $\bar{\mu}$ ἀποκαταστάσεις ποιήσεται, ὅσον ἐστὶ τὸ πλῆθος τοῦ β, τότε τὸ β ὀδόντας κεκινημένον $\bar{\beta\upsilon}$, ὅσον ἐστὶ τὸ πλήθος τῶν ὀδόντων τοῦ α ἐπὶ τὸ πλῆθος τῶν ὀδόντων τοῦ β. ὅταν ἄρα τὸ α ἀποκαταστάσεις ποιήσεται $\bar{\mu}$, ὅσον ἐστὶ τὸ πλῆθος τῶν ὀδόντων τοῦ β, τότε καὶ τὸ β ἀποκαταστάσεις ποιήσεται $\bar{\xi}$, ὅσον ἐστὶ τὸ πλῆθος τῶν ὀδόντων τοῦ α· ἔστιν ἄρα ὡς τὸ τάχος τοῦ α πρὸς τὸ τάχος τοῦ β οὕτω τὸ πλῆθος τῶν ὀδόντων τοῦ β πρὸς τὸ πλῆθος τῶν ὀδόντων τοῦ α.

Ὅτι δὲ αἱ τῶν κύκλων περιφέρειαι πρὸς ἀλλήλας εἰσὶν ὡς αἱ διάμετροι, νῦν δείξομεν. ἔστωσαν γὰρ δύο κύκλοι οἱ αβ, γδ, λέγω ὅτι ἐστὶν ὡς ἡ τοῦ αβ κύκλου περιφέρεια πρὸς τὴν τοῦ γδ κύκλου περιφέρειαν οὕτως ἡ αβ διάμετρος πρὸς τὴν γδ. ἐπεὶ γάρ ἐστιν ὡς ὁ αβ κύκλος πρὸς τὸν γδ κύκλον οὕτω τὸ ἀπὸ τῆς αβ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς αβ τετράγωνον, ἀλλὰ τοῦ μὲν αβ κύκλου τετραπλάσιόν ἐστι τὸ περιεχόμενον ὀρθογώνιον ὑπό τε τῆς αβ διαμέτρου καὶ τῆς αβ περιφερείας, τοῦ τε γδ κύκλου τετραπλάσιόν ἐστι τὸ ὑπὸ τῆς γδ καὶ τῆς τοῦ γδ περιφερείας,

Hosted by Google




$\alpha, \beta$ zwei runde, an einander gefügte Scheiben, und es verhalte sich der Durchmesser von $\alpha$ zum Durchmesser von $\beta$ wie die Anzahl der Zähne von $\alpha$ zu der Anzahl der Zähne von $\beta$; so nämlich gelingt die Aneinanderfügung der Scheiben, weil die Umfänge der Kreise wie die Durchmesser sich verhalten, wovon weiter unten. Es habe [*Command. XXI.*] nun die Scheibe $\alpha$ 60 Zähne, die Scheibe $\beta$ deren 40, so wird behauptet, dass die Geschwindigkeit von $\alpha$ zu der Geschwindigkeit von $\beta$ sich verhält wie die Anzahl der Zähne von $\beta$ zu der Anzahl der Zähne von $\alpha$. Da die Scheiben $\alpha, \beta$ an einander gefügt sind, so wird, um wie viele Zähne $\alpha$ bewegt wird, um ebenso viele Zähne auch $\beta$ bewegt werden; macht also $\beta$ eine vollständige Umdrehung, so wird $\alpha$ um 40 Zähne bewegt werden, so dass, wenn $\beta$ 60 Umdrehungen gemacht hat (so viel beträgt die Anzahl der Zähne von $\alpha$), $\alpha$ um 2400 Zähne bewegt sein wird (so viel beträgt die Anzahl der Zähne von $\alpha$ in die der Zähne von $\beta$). Auf ähnliche Weise wird gezeigt, dass wenn $\alpha$ 40 Umdrehungen macht (so viel beträgt die Anzahl der Zähne von $\beta$), $\beta$ um 2400 Zähne bewegt worden ist (so viel beträgt die Anzahl der Zähne von $\alpha$ in die der Zähne von $\beta$). Wenn also $\alpha$ 40 Umdrehungen gemacht hat (so viel beträgt die Anzahl der Zähne von $\beta$), so wird $\beta$ 60 Umdrehungen gemacht haben (so viel beträgt die Anzahl der Zähne von $\alpha$), mithin verhält sich die Geschwindigkeit von $\alpha$ zur Geschwindigkeit von $\beta$ wie die Anzahl der Zähne von $\beta$ zur Anzahl der Zähne von $\alpha$.

Wir wollen jetzt zeigen, dass die [*Command. XXII.*] Umfänge der Kreise sich wie die Durchmesser verhalten. Hat man die




beiden Kreise $\alpha\beta, \gamma\delta$, so wird behauptet, dass die Peripherie des Kreises $\alpha\beta$ zu der Peripherie des Krei-

τὸ γὰρ ὑπὸ τῆς ἐκ τοῦ κέντρου τοῦ κύκλου καὶ τῆς περιμέτρου τοῦ κύκλου περιεχόμενον ὀρθογώνιον διπλάσιόν ἐστι τοῦ ἐμβάδου τοῦ κύκλου, ὡς Ἀρχιμήδης καὶ ὡς ἐν τῷ εἰς τὸ πρῶτον τῶν μαθηματικῶν σχολίῳ δέδεικται καὶ ὑφ' ἡμῶν δι' ἑνὸς θεωρήματος. καὶ ὡς ἄρα τὸ ὑπὸ τῆς αβ καὶ τῆς περιφερείας τοῦ αβ πρὸς τὸ ὑπὸ τῆς γδ κύκλου περιφερείας [καὶ τῆς γδ] οὕτω τὸ ἀπὸ τῆς αβ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς γδ, καὶ ἐναλλὰξ ὡς τὸ ὑπὸ τῆς τοῦ αβ κύκλου περιφερείας καὶ τῆς αβ πρὸς τὸ ἀπὸ αβ οὕτω τὸ ὑπὸ τῆς τοῦ γδ κύκλου περιφερείας καὶ τῆς γδ πρὸς τὸ ἀπὸ τῆς γδ, καὶ ὡς ἄρα ἡ τοῦ αβ κύκλου περιφέρεια [πρὸς τὴν αβ οὕτω ἡ τοῦ γδ περιφέρεια] πρὸς τὴν γδ, τοῦτο γὰρ μικρόν ἐστιν ἐν τοῖς στοιχείοις λαμβανόμενον, καὶ ἐναλλὰξ ὡς ἡ τοῦ αβ περιφέρεια πρὸς τὴν τοῦ γδ περιφέρειαν οὕτως ἡ αβ πρὸς τὴν γδ.

Τυμπάνου δοθέντος καὶ τοῦ πλήθους τῶν ὀδόντων αὐτοῦ, ἐπιτετάχθω παραθεῖναι αὐτῷ τύμπανον δοθὲν ἔχον τὸ πλῆθος τῶν ὀδόντων καὶ εὑρεῖν τὴν διάμετρον τοῦ παρατιθεμένου τυμπάνου. Ἔστω τύμπανον τὸ α, οὗ τὸ πλῆθος τῶν ὀδόντων ἔστω ὁ β ἀριθμὸς $\mu^{o}\overline{\xi}$, καὶ παρακείσθω τῷ α τὸ γ τύμπανον οὗ τὸ πλῆθος τῶν ὀδόντων ἔστω ὁ δ ἀριθμὸς $\mu^{o}\mu$, δεῖ δὴ τοῦ γ τὴν διάμετρον εὑρεῖν. ἐπεὶ οὖν ὁ β ἀριθμὸς πλῆθός ἐστιν ὀδόντων τοῦ α, ὁ δὲ δ πλῆθός ἐστιν ὀδόντων τοῦ γ, καὶ ἔστιν τὸ μὲν πλῆθος τῶν ὀδόντων τοῦ α ἡ περίμετρος αὐτῶν τοῦ.... [1]) ἔστιν ἄρα ὡς ὁ β ἀριθμὸς πρὸς τὸν δ οὕτως ἡ περίμετρος τοῦ α πρὸς τὴν περίμετρον τοῦ γ· ἀλλ' ὡς ἡ περίμετρος πρὸς τὴν περίμετρον οὕτως ἡ διάμετρος πρὸς τὴν διάμετρον, λόγος δὲ τοῦ β ἀριθμοῦ πρὸς τὸν δ

---

[1]) Hier ist in der Hdsch. offenbar eine Lücke. Auch *Commandin's* Hdsch. hat eine solche gehabt, denn er übersetzt: estque multitudo dentium tympani C ipsius circumferentia. Der Zusammenhang verlangt: ἔστιν τὸ μὲν πλῆθος τῶν ὀδόντων τοῦ α ἡ περίμετρος αὐτοῦ, τὸ δὲ πλῆθος τῶν ὀδόντων τοῦ γ ἡ περίμετρος αὐτοῦ.

Hosted by Google

ses $\gamma\delta$ sich verhält wie der Durchmesser $\alpha\beta$ zum Durchmesser $\gamma\delta$. Da nämlich der Kreis $\alpha\beta$ zum Kreis $\gamma\delta$ sich verhält wie das Quadrat über dem Durchmesser $\alpha\beta$ zum Quadrat über dem Durchmesser $\gamma\delta$, das Vierfache des Kreises $\alpha\beta$ aber dem Rechteck aus dem Durchmesser $\alpha\beta$ und aus der Peripherie des Kreises $\alpha\beta$, und das Vierfache des Kreises $\gamma\delta$ dem Rechteck aus dem Durchmesser $\gamma\delta$ und dem Umfange des Kreises $\gamma\delta$ gleich ist (denn das Rechteck aus dem Radius und aus der Peripherie des Kreises ist gleich dem doppelten Inhalt des Kreises, wie von Archimedes, und in dem Scholium zum ersten Buch der Mathematika, und wie auch von uns mittelst eines einzigen Lehrsatzes gezeigt worden ist), so verhält sich das Rechteck aus dem Durchmesser $\alpha\beta$ und der Peripherie des Kreises $\alpha\beta$ zu dem Rechteck aus dem Durchmesser und dem Umfang des Kreises $\gamma\delta$ wie Quadrat über $\alpha\beta$ : Quadrat über $\gamma\delta$, daher Rechteck aus dem Umfang und dem Durchmesser $\alpha\beta$ zum Quadrat über $\alpha\beta$ wie Rechteck aus dem Umfang und dem Durchmesser des Kreises $\gamma\delta$ zum Quadrat über $\gamma\delta$, mithin Umfang des Kreises $\alpha\beta$ zum Durchmesser $\alpha\beta$ wie Umfang des Kreises $\gamma\delta$ zum Durchmesser $\gamma\delta$ (was in den Elementen als etwas Einfaches behandelt wird), folglich Umfang des Kreises $\alpha\beta$ zum Umfang des Kreises $\gamma\delta$ wie Durchmesser $\alpha\beta$ zum Durchmesser $\gamma\delta$.

Es ist eine Scheibe und die Anzahl der Zähne derselben gegeben, an dieselbe soll eine Scheibe mit einer gegebenen Anzahl Zähne angefügt werden, man sucht den Durchmesser der letztern. [*Command. XXIII.*]




Die Anzahl der Zähne der Scheibe $\alpha$ sei $\beta = 60$, an dieselbe sei die Scheibe $\gamma$ gefügt, welche $\delta = 40$ Zähne hat; man soll den Durchmesser der Schreibe $\gamma$ finden. Da die Anzahl der Zähne von $\alpha$ gleich $\beta$, die von $\gamma$ gleich $\delta$ ist, und die Anzahl der Zähne

ἀριθμὸν δοθείς, δοθεὶς γάρ ἐστιν ὁ τῶν $\overline{\xi}$ πρὸς τὰ $\overline{\mu}$, λόγος ἄρα καὶ τῆς διαμέτρου τοῦ α πρὸς τὴν διάμετρον τοῦ γ ὁ τῶν $\overline{\xi}$ πρὸς τὰ $\overline{\mu}$ καὶ ἔστι δοθεῖσα ἡ διάμετρος τοῦ α, δοθεῖσα ἄρα καὶ ἡ διάμετρος τοῦ γ. δεῖ γὰρ ποιεῖν ὡς τὸν $\overline{\xi}$ ἀριθμὸν πρὸς τὸν $\overline{\mu}$ οὕτω τὴν διάμετρον τοῦ α πρὸς ἄλλην τινά, καὶ ὁ περὶ διάμετρον ἐκείνην γραφόμενος κύκλος ἴσος ἔστω τῷ ζητουμένῳ τυμπάνῳ. Ὀργανικῶς δὲ οὕτως· ἐκκείσθω τις εὐθεῖα ἡ εζ τετμημένη εἰς ἴσα τὸ πλῆθος τοῖς ὀδοῦσι τοῦ α τυμπάνου, τουτέστι $\overline{\xi}$, καὶ πρὸς ὀρθὰς αὐτῇ ἀχθείσης τῆς [1]) ζη κείσθω διαμέτρῳ τοῦ α τυμπάνου ἴση ἡ ζη, καὶ ἐπεζεύχθω ἡ εη, καὶ οἵων ἦεζ $\overline{\xi}$, τοιούτων $\overline{\mu}$ ἡ εθ ἀπειλήφθω τοῦ πλήθους τῶν ὀδόντων τοῦ γ γινομένη, καὶ διὰ τοῦ θ παράλληλος τῇ ζη ἤχθω ἡ θκ· καὶ ἔσται ἄρα ἡ θκ ἴση τῇ διαμέτρῳ τοῦ γ τυμπάνου· φανερὰ γὰρ ἡ ἀπόδειξις.

Πῶς δὲ κατασκεύαζεται κοχλίας τὴν ἕλικα ἁρμοστὴν ἔχων τοῖς λοξοῖς ὀδοῦσι τοῦ δοθέντος τυμπάνου, φανερὸν οὕτως ἔσται. νοείσθω κύλινδρος ἰσοπαχῶς τετορνευμένος ὁ αδεζ, πλευρὰ δ' αὐτοῦ ἡ αε, καὶ εἰλήφθω μονοστρόφου ἕλικος ἐπ' αὐτῆς διάστημα τὸ αβ, καὶ λεπίδιον χαλκοῦν γεγενήσθω οὗ τὸ μὲν ηθκ μέρος τρίγωνον ὀρθογώνιον ἔστω ὀρθὴν ἔχον τὴν θ γωνίαν, τὸ δὲ λοιπὸν παραλληλόγραμμιον ὀρθογώνιον τὸ θκλ· ἴση δὲ κείσθω ἡ θη τῇ αβ, ἡ δὲ θκ τῇ περιμέτρῳ τοῦ αδεζ κυλίνδρου, καὶ περικαμπτέσθω τόδε λεπίδιον περὶ τὸν κύλινδρον, ἵνα καὶ τὸ θκλμ παραλληλόγραμμον κύλινδρος γένηται ἁπτόμενος τοῦδε ὅτου ἐναχθῇ, καὶ κείσθω τὸ μὲν θ ἐπὶ τὸ α, τὸ δὲ η ἐπὶ τὸ β, καὶ οὕτω γράψομεν διὰ τῆς ηκ ὑποτεινούσης,

[1]) Die Hdsch. hat τῇ.

Hosted by Google

von $\gamma$ den Umfang von $\gamma$ ausmacht), so verhält sich die Zahl $\beta$ zur Zahl $\delta$ wie der Umfang von $\alpha$ zum Umfang von $\gamma$; aber die Umfänge verhalten sich wie die Durchmesser, und da das Verhältniss der Zahl $\beta$ zur Zahl $\delta$ gegeben ist (denn es ist 60 : 40 gegeben), so ist auch das Verhältniss des Durchmessers von $\alpha$ zum Durchmesser von $\gamma$ = 60 : 40; nun ist der Durchmesser von $\alpha$ gegeben, mithin auch der Durchmesser von $\gamma$. Setzt man nämlich, dass 60 : 40 wie der Durchmesser von $\alpha$ zu irgend einem andern Durchmesser sich verhält, so wird der über diesem letztern beschriebene Kreis der gesuchten Scheibe gleich sein.

Organisch wird die Aufgabe auf folgende Weise gelöst. Es sei die Gerade $\varepsilon\zeta$ in gleiche Theile getheilt, deren Anzahl den Zähnen der Scheibe $\alpha$ gleich ist, also = 60; man errichte auf derselben die Senkrechte $\zeta\eta$, mache sie gleich dem Durchmesser der Scheibe $\alpha$ und ziehe $\varepsilon\eta$. Von den 60 Theilen, die auf die $\varepsilon\zeta$ gehen, nehme man 40 (die Anzahl der Zähne von $\gamma$) = $\varepsilon\vartheta$, und ziehe durch $\vartheta$ zu $\zeta\eta$ die Parallele $\vartheta\varkappa$, so wird $\vartheta\varkappa$ dem Durchmesser der Scheibe $\gamma$ gleich sein. Der Beweis ist leicht.




Wie eine Schraube mit einem [*Command. XXIV.*] Schraubengang, der in die schrägen Zähne einer gegebenen Scheibe






Hosted by Google

καμφθείσης δὲ, τὴν καλουμένην μονόστροφον ἕλικα ὡς τὴν βδ. καὶ πάλιν μεταθέντες τὸ λεπίδιον, ὥστε τὸ μὲν θ κατὰ τὸ β εἶναι, τὸ δὲ η κατὰ τὸ γ, γράψομεν διὰ τῆς ηκ ἑτέραν ἕλικα μονόστροφον, ὥστε τὴν ὅλην εἶναι δίστροφον· ἐν ᾧ γὰρ χρόνῳ τὸ α ἐπὶ τὸ β παραγίνεται ὁμαλῶς κινούμενον, ἐν τούτῳ καὶ ἡ αβ κατὰ τῆς ἐπιφανείας τοῦ κυλίνδρου κινηθεῖσα εἰς τὸ αὐτὸ ἀποκαθίσταται, καὶ τὸ εἰρημένον φέρεσθαι σημεῖον κατὰ τῆς αβ εὐθείας γράψει τὴν μονόστροφον ἕλικα· τοῦτο γὰρ Ἀπολλώνιος ὁ Περγεὺς ἀπέδειξεν. ἐὰν οὖν καὶ ἑκατέραν τῶν αβ, βγ καὶ τὰς ἑξῆς ἄρχι τοῦ ε διχὰ τέμνωμεν καὶ διὰ τῶν σημείων τῷ λεπιδίῳ γράψωμεν μονοστρόφους ἕλικας, ἀπ' αὐτῶν τε τὸ βάθος τῆς ἕλικος ὃ βουλόμεθα λάβωμεν, καὶ ἀπὸ τοῦ βάθους λοιπὸν καὶ τῆς γραφείσης ἕλικος, ῥᾳδίως τὴν ἕλικα φακοειδῆ ῥινήσαντες ἔξομεν ἀπηρτισμένην.

Πάλιν νοείσθω ἐν τῇ ἑτέρᾳ ἐπιφανείᾳ τοῦ δοθέντος τυμπάνου περὶ τὸν κρόταφον κύκλος οὗ περιφέρεια ἡ ρυτκ, κέντρον δὲ τὸ ξ, καὶ τὰ ρ, υ, τ ἴσον ἀπ' ἀλλήλων ἀπέχοντα λόγου χάριν τοῦ πάντος κύκλου εἰς εἴκοσι τέσσαρα διῃρημένου, καὶ ἀπὸ τῶν ρ, υ, τ ἐπὶ τὸ ξ κέντρον νεύουσαι διήχθωσαν ἄχρι τοῦ περὶ τὸ ξ κέντρον γεγραμμένου κύκλου τοῦ μνπφ αἱ ρο, υο, το, καὶ ἀπὸ τῶν διχοτομούντων τὰς οο περιφερείας σημείων διήχθωσαν ἐπὶ τὰ ρ, υ, τ σημεῖα αἱ νρ, μρ, νυ, πυ, πτ, τφ, καὶ τῆς ορ εὐθείας προσήχθω ἐν τῇ κυρτῇ τοῦ τυμπάνου ἐπιφανείᾳ ἡ ρσ μέχρι τῆς περιφερείας οὖσα τοῦ ἐν τῇ ἑτέρᾳ ἐπιφανείᾳ τοῦ τυμπάνου περὶ τὸν κρό-

Hosted by Google

hineinpasst, construirt wird, ergiebt sich auf folgende Weise. Man denke sich einen gleichdicken runden Cylinder $\alpha\delta\varepsilon\zeta$, dessen Seite $= \alpha\varepsilon$, auf derselben soll die Entfernung der Windung eines Schraubenganges $= \alpha\beta$ sein. Man forme ferner einen metallnen Steifen, von dem der eine Theil das bei $\vartheta$ rechtwinklige Dreieck $\eta\vartheta\varkappa$ bildet, das übrige das rechtwinklige Parallelogramm $\vartheta\varkappa\lambda$, und es sei $\vartheta\eta = \alpha\beta$, $\vartheta\varkappa$ gleich dem Umfang des Cylinders $\alpha\delta\varepsilon\zeta$. Es werde nun dieser Streifen um den Cylinder herumgebogen, so dass auch das Parallelogramm $\vartheta\varkappa\lambda\mu$ ein Cylinder wird der sich an jenen wenn er hineingepasst wird anschliesst, und es falle $\vartheta$ auf $\alpha$, $\eta$ auf $\beta$, so werden wir durch die herumgebogene Hypotenuse $\eta\varkappa$ eine sogenannte einmalige Windung eines Schraubengangs wie $\beta\delta$ beschreiben. Legen wir ferner den Streifen so an, dass der Punkt $\vartheta$ in $\beta$, $\eta$ in $\gamma$ fällt, so werden wir durch $\eta\varkappa$ eine zweite einmalige Windung eines Schraubengangs beschreiben, demnach zusammen einen Schraubengang mit zwei Windungen haben; in welcher Zeit nämlich der Punkt $\alpha$ in $\beta$ ankommt, wenn er sich gleichmässig bewegt, in derselben Zeit wird auch die Linie $\alpha\beta$, wenn sie auf der Oberfläche des Cylinders sich bewegt, in denselben Ort eintreffen, und der Punkt, von welchem gesagt wird, dass er auf der Linie $\alpha\beta$ hinabgleitet, wird die einmalige Windung des Schraubengangs beschreiben; dies hat Apollonius von Pergä bewiesen. Wenn wir nun eine jede der Linien $\alpha\beta$, $\beta\gamma$ und der folgenden bis zum Punkte $\varepsilon$ halbiren und durch die Punkte mittelst des Streifens einmalige Windungen des Schraubengangs beschreiben, und von ihnen aus die Tiefe des Schraubengangs, welche wir wollen, nehmen und von der Tiefe aus auch das übrige des beschriebenen Schraubengangs, so werden wir, nachdem wir den Schraubengang linsenförmig polirt haben, die Schraube ohne Schwierigkeit vollendet herstellen.

Ferner denke man sich auf der einen Seitenfläche einer gegebenen Scheibe in der Nähe des Randes einen Kreis, dessen Umfang $\varrho\upsilon\tau\varkappa$ und dessen Mittelpunkt $\xi$, die Punkte $\varrho$, $\upsilon$, $\tau$ seien in gleichem Abstand von einander, indem z. B. der ganze Kreis in 24 Theile getheilt ist; von diesen Punkten $\varrho$, $\upsilon$, $\tau$ ziehe man die Linien $\varrho o$, $\upsilon o$, $\tau o$ nach dem Mittelpunkt $\xi$ zu bis zu dem um den Mittelpunkt $\xi$ beschriebenen Kreis $\mu\nu\pi\varphi$, und von den die Bogen $oo$ halbirenden Punkten die Linien $\nu\varrho$, $\mu\varrho$, $\nu\upsilon$, $\pi\upsilon$, $\pi\tau$, $\tau\varphi$ nach den Punkten $\varrho$, $\upsilon$, $\tau$; in gerader Richtung mit $o\varrho$ sie auf dem gekrümmten Rande der Scheibe die $\varrho\sigma$ bis zu der Peripherie gezo-



Hosted by Google

ταφον ὁμοίως γραφομένου τοῦ χω κύκλου, καὶ ἀπὸ τοῦ σ τῇ μὲν ἥμισυ τῆς ρυ περιφερείας ὡς λοξώσεως ἴση κείσθω ἡ σχ, τῇ δὲ ρυ ἡ χω, καὶ οὕτως ἑξῆς ἴσην θέντες τῇ υτ τὴν ωγ καὶ τὰς λοιπὰς, καὶ ἐπιζεύξαντες τὰς ρχ, υω, τγ ἕξομεν τὰς τῶν ὀδόντων λοξώσεις. καὶ ἐπεὶ ἴσος ἐστὶν ὁ ρυ κύκλος τῷ κύκλῳ, γράψομεν κἂν τῇ ἑτέρᾳ ἐπιφανείᾳ τοῦ τυμπάνου περὶ κέντρον τὸ ἀντικείμενον τῷ ξ σημείῳ κύκλον ἴσον τῷ μν, καὶ ἀπὸ τῶν χ, ω ἀγαγόντες ἐπ' αὐτὸν εὐθείας νευούσας ἐπὶ τὸ κέντρον αὐτοῦ, καὶ τὰ αὐτὰ ποιήσαντες τοῖς ἐπὶ τῆς ρυτ περιφερείας τοῦ κύκλου ἕξομεν καὶ τὴν ἄλλην πλευρὰν τοῦ τυμπάνου καταγεγραμμένην. καὶ λοιπὸν ἐκκόψαντες τὰ μεταξὺ τῶν γραμμῶν σχήματα ὡς τὰ νρυ, υττ καὶ τὰ ἀντικείμενα ἕξομεν τὸ τύμπανον ὠδοντωμένον ὀδοῦσι λοξοῖς, ἐμβαίνει δὲ ἕκαστος εἰς τὴν τοῦ κοχλίου ἕλικα, ἐπεὶ καὶ τὸ μεταξὺ διάστημα τὸ ρυ ἴσον ἐστὶ τῷ αβ διαστήμαιι τῆς τοῦ κοχλίου ἕλικος. καὶ δῆλον ὡς καθ' ἑκάστην στροφὴν τοῦ κοχλίου εἷς ὀδοὺς παρενεχθήσεται· τοῦ γὰρ Ἥρων ἀπέδειξεν ἐν τοῖς μηχανικοῖς, γραφήσεται δὲ καὶ ὑφ' ἡμῶν ἵνα μηδὲν ἐξωθὲν ἐπιζητῶμεν.

Νονείσθω γὰρ κοχλίας ὁ αβ, ἡ δὲ ἐν αὐτῷ ἕλιξ ἡ

Hosted by Google

gen, die zu dem auf der andern Seitenfläche der Scheibe in der Nähe des Randes ähnlich beschriebenen Kreises $\chi\omega$ gehört, und




von dem Punkte $\sigma$ aus sei $\sigma\chi$ der Hälfte des Bogens $\varrho\upsilon$ als der Schiefe (der Zähne) gleich, ferner $\chi\omega = \varrho\upsilon$, und so weiter $\omega\gamma = \upsilon\tau$; ziehen wir nun $\varrho\chi$, $\upsilon\omega$, $\tau\gamma$, so erhalten wir die Schiefen der Zähne. Da der Kreis $\varrho\upsilon$ dem Kreise $\chi\omega$ gleich ist, so werden wir auch auf der andern Seitenfläche der Scheibe um einen dem Punkte $\xi$ gegenüberliegenden Mittelpunkt einen dem $\mu\nu$ gleichen Kreis beschreiben und an denselben von den Punkten $\chi$, $\omega$ nach seinem Mittelpunkt zu Linien ziehen, und werden so, indem wir ebenso wie mit den Punkten auf der Peripherie des Kreises $\varrho\upsilon\tau$ verfahren, auch die andere Seite der Scheibe beschrieben erhalten. Meisseln wir nun zuletzt die Figuren heraus, welche zwischen den Linien liegen, wie $\nu\varrho\upsilon$, $\upsilon\pi\tau$, und die gegenüberliegenden, so werden wir eine gezahnte Scheibe mit schrägen Zähnen haben, von denen ein jeder in den Schraubengang der Schraube passt, da der Zwischenraum $\varrho\upsilon$ dem Zwischenraum $\alpha\beta$ des Schraubengangs der Schraube gleich ist. Offenbar wird bei jeder Umdrehung der Schraube ein Zahn weiter geschoben werden, was Hero in der Meckanik bewiesen hat und auch wir darthun wollen, um den Gegenstand vollständig zu erledigen.

Hat man die Schraube $\alpha\beta$ und auf ihr den Schraubengang

Hosted by Google

αγδεζβ, νοείσθωσαν δὲ μονόστροφοι αἱ εἰρημέναι ἕλικες, τύμπανον δὲ ἔστω τὸ παρακείμενον καὶ ὠδοντωμένον τὸ ηγεϑ ὀδόντας ἔχον τοὺς ηγ, γε, εϑ ἁρμόζοντας τῇ ἕλικι· οἱ ἄρα λοιποὶ οὐκ ἐναρμόζουσιν ἐς τὰς λοιπὰς ἕλικας. ἐὰν οὖν ἐπιστρέψωμεν τὸν κοχλίαν, ὥστε τὸ ε σημεῖον παρωϑεῖσϑαι ἐπὶ τὰ γ μέρη, παρέσται τὸ ε ἐπὶ τὸ γ ὅταν ὁ κοχλίας ἀποκατάστασιν μίαν ποιήσεται, καὶ ἕξει ὁ μὲν γε ὀδοὺς τὴν τοῦ γη [ὁ δὲ εϑ τὴν τοῦ γε], καὶ πάλιν ὁ εϑ ϑέσιν ἐσχηκὼς τὴν γε ἐν μιᾷ τοῦ κοχλίου περιστροφῇ ὅλος παραχϑήσεται. καὶ ἐπὶ τῶν ἑξῆς ὀδόντων τὰ αὐτὰ ἐπινοεῖν χρὴ, ὥστε ὅσους ἐὰν ὀδόντας ἔχῃ τὸ τύμπανον, τοσαυτάκις ὁ κοχλίας κινηϑεὶς μίαν ἀποκατάστασιν τοῦ τυμπάνου ποιήσεται.

Τοσαῦτα [1]) μὲν οὖν περὶ τοῦ βαρουλκοῦ [2]), τῶν δὲ προειρημένων πέντε δυνάμεων ἐκ τοῦ Ἥρωνος τὴν ἔκϑεσιν ἐπιτομώτερον ποιησόμεϑα πρὸς ὑπόμνησιν τῶν φιλομαϑούντων, προσϑέντες ἔτι καὶ περὶ τῆς μονοκώλου καὶ δικώλου [καὶ τρικώλου] καὶ τετρακώλου μηχανῆς ἀναγκαίως λεγομένων, μή ποτε καὶ τῶν βιβλίων ἐν οἷς ταῦτα γέγραπται ἀπορία γένηται τῷ ζητοῦντι, καὶ γὰρ ἡμεῖς κατὰ πολλὰ μέρη διεφϑαρμένοις ἐνετύχομεν ἀνάρχοις τε καὶ ἀτελεύτοις βιβλίοις. πέντε τοίνυν οὐσῶν δυνάμεων δι' ὧν τὸ δοϑὲν βάρος τῇ δοϑείσῃ βίᾳ κινῆται, ἀναγκαῖόν ἐστι τάτε σχήματα αὐτῶν καὶ τὰς χρείας, ἔτι δὲ καὶ τὰ ὀνόματα ἐκϑέσϑαι. ἀποδέδοται δε ὑπὸ τοῦ Ἥρωνος καὶ Φίλωνος, καὶ διότι αἱ προειρημέναι δυνάμεις εἰς μίαν ἄγονται φύσιν, καίτοι παραπολὺ διαλλάσσουσαι τοῖς

---

[1]) Das Folgende ist sicherlich nicht von Pappus verfasst; es ist ein späterer Zusatz.

[2]) Die Hdsch. hat περὶ τοῦ βάρους ἀκουε.

Hosted by Google

$\alpha\gamma\delta\varepsilon\zeta\beta$, und denkt man sich ihn aus einmaligen Windungen bestehend, daran sei eine gezahnte Scheibe $\eta\gamma\varepsilon\vartheta$ gefügt mit den in den Schraubengang passenden Zähnen $\eta\gamma$, $\gamma\varepsilon$, $\varepsilon\vartheta$; die übrigen Zähne passen nicht in die andern Schraubengänge. Wenn wir nun die Schraube drehen so dass der Punkt $\varepsilon$ nach der Seite $\gamma$ zu fortgestossen wird, so wird der Punkt $\varepsilon$ nach $\gamma$ kommen, wenn die Schraube eine vollständige Umdrehung gemacht hat, und der Zahn $\gamma\varepsilon$ wird die Lage von $\gamma\eta$, der Zahn $\varepsilon\vartheta$ die Lage von $\gamma\varepsilon$ haben, und ferner wird der Zahn $\varepsilon\vartheta$ aus seiner Lage $\gamma\varepsilon$ durch eine Umdrehung der Schraube vollständig weiter geführt werden. Ebendasselbe muss man sich in Betreff der folgenden Zähne vorstellen, alsdann wird, wenn die Schraube so vielmal gedreht wird als die Scheibe Zähne hat, die erstere eine vollständige Umdrehung der Scheibe bewirken.




Hosted by Google

σχήμασιν. ὀνόματα μὲν οὖν ἐστι τάδε· ἄξων ἐν περιτροχίῳ, μοχλὸς, πολύσπαστον, σφὴν, καὶ πρὸς τούτοις ὁ καλούμενος ἄπειρος κοχλίας. ὁ μὲν οὖν ἄξων ὁ ἐν τῷ περιτροχίῳ κατασκευάζεται οὕτω· ξύλον δεῖ λαβεῖν εὔτονον τετράγωνον καθάπερ καὶ δοκίδα καὶ τούτου τὰ ἄκρα εἰλύσαντα στρογγύλα ποιῆσαι καὶ χοινικίδας περιθεῖναι χαλκᾶς συναραρυίας τῷ ἄξονι ..... [1]), ὥστε ἅμα στρέφεσθαι τόν τε ἄξονα καὶ τὸ περιτρόχιον. ἡ μὲν οὖν κατασκευὴ δεδήλωται, χρεία δ' ἐστὶν ἡ μέλλουσα λέγεσθαι. ὅταν γὰρ βουλώμεθα μεγάλα βάρη κινεῖν ἐλάσσονι βίᾳ, τὰ ἐκδεδεμένα ἐκ τοῦ βάρους ὅπλα περιθέντες περὶ τὰ σεσιμωμένα τοῦ ἄξονος καὶ ἐμβαλόντες σκυτάλας εἰς τὰ ἐν τῷ περιτροχίῳ τρήματα, ἐπιστρέφομεν τὸ περιτρόχιον, κατάγοντες τὰς σκυτάλας, καὶ οὕτως εὐκόπως κινηθήσεται τὸ βάρος ὑπὸ ἐλάσσονος δυνάμεως, τῶν ὅπλων περὶ τὸν ἄξονα ἐπειλουμένων ἢ καὶ μὴ διαμηρυμένων ὑπό τινος, πρὸς τὸ μὴ ἅπαν τὸ ὅπλον περικεῖσθαι τῷ ἄξονι. τοῦ δὲ εἰρημένου ὀργάνου τὸ μὲν μέγεθος ἁρμόζεσθαι δεῖ πρὸς τὰ μέλλοντα κινεῖσθαι βάρη, τὴν δὲ συμμετρίαν πρὸς τὸν λόγον ὃν ἔχει τὸ κινούμενον βάρος πρὸς τὴν κινοῦσαν δύναμιν, ὡς ἐξῆς δειχθήσεται. ἦν δὲ δευτέρα δύναμις ἡ διὰ τοῦ μοχλοῦ, κατὰ ..... [2]) προεπίνοια τῆς περὶ τὰ ὑπεράγοντα βάρη κινήσεως. προελόμενοι γάρ τινες μεγάλα βάρη κινεῖν, ἐπειδὴ ἀπὸ τῆς γῆς ἔδει πρῶτον μετεωρίσαι, λάβας δὲ οὐκ εἶχον διὰ τὸ πάντα τὰ μέρη τῆς ἕδρας τοῦ φορτίου ἐπικεῖσθαι τῷ ἐδάφει, ὑπορύξαντες βραχὺ καὶ ξύλου μακροῦ τὸ ἄκρον ὑπολαβόντες ὑπὸ τὸ φορτίον κατῆγον ἐκ τοῦ ἑτέρου ἄκρου, ὑποθέντες τῷ ξύλῳ παρ' αὐτῷ τῷ φορτίῳ λίθον, ὃν δὴ καλεῖται ὑπομόχλιον· φανείσης δ' αὐτοῖς τῆς κινήσεως πάνυ εὐκόπου, ἐνόησαν ὅτι δυνατὸν κινεῖσθαι μεγάλα βάρη διὰ τοῦ τρόπου τούτου. καλεῖται δὲ τὸ ξύλον μοχλὸς εἰ τετράγωνον εἴη, εἴτε στρογγύλον. ὅσῳ δ' ἂν ἐγγυτέρω τίθεται τοῦ φορτίου τὸ ὑπο-

---

[1]) Die Hdsch. hat hier eine grosse Lücke. *Commandin* übersetzt: ita ut injectae in foramina rotunda in immoto quodam pegmate expedite vertantur, cum foramina habeant τρηβεῖς aereos choinicidibus subjectos. Vocatur autem id lignum, quod dictum est, axis et circa medium axem circumponitur tympanum, habens foramen quadratum axi congruens, ut eodem tempore et axis et peritrochium vertatur.

[2]) Lücke der Hdsch., vielleicht ist zu lesen: κατὰ ὃν ἡ.

Hosted by Google

μόχλιον, τοσούτῳ εὐχερέστερον κινεῖται τὸ βάρος, ὡς ἐξῆς δειχθήσεται. ἔστι δὲ ἡ τρίτη δύναμις ἡ κατὰ τὸ πολύσπαστον. ὅταν γὰρ βουλόμεθά τι βάρος ἕλκειν, ἐξάψαντες ὅπλον ἐξ αὐτοῦ ἐπισπώμεθα τοσαύτῃ βίᾳ, ὅση τῷ φορτίῳ ἰσόῤῥοπός ἐστιν. ἐὰν δὲ ἑλκύσαντες ἐκ τοῦ φορτίου τὸ ὅπλον ιὴν μὲν μίαν αὐτοῦ ἀρχὴν ἐκδήσωμεν ἔκ τινος μένοντος χωρίου, τὴν δὲ ἑτέραν βάλλωμεν διὰ τροχίλου ἐκδεδεμένου ἐκ τοῦ φορτίου καὶ ταύτην ἐπισπώμεθα, εὐχερέστερον κινήσομεν τὸ βάρος. πάλιν δὲ ἐὰν ἐκ τοῦ μένοντος χωρίου ἐξάψωμεν ἕτερον τρόχιλον καὶ τὴν ἀγομένην ἀρχὴν διὰ τούτου διαλαβόντες ἐπισπώμεθα, πολλῷ μᾶλλον εὐχερέστερον κινήσομεν τὸ βάρος. ..... [1]) ἀεὶ τροχίλους ἔκ τε τοῦ μένοντος χωρίου ἐξάπτοντες καὶ ἐκ τοῦ φορτίου καὶ διαβάλλοντες ἐναλλὰξ τὴν ἀγομένην ἀρχὴν εἰς τοὺς τροχίλους εὐχερέστερον κινήσομεν τὸ βάρος. ὅσῳ δ' ἂν εἰς πλείονα κῶλα τὸ ὅπλον κάμπτηται, τὸ βάρος εὐκοπώτερον κινηθήσεται. δεῖ δὲ τὴν ἐκδεδεμένην ἀρχὴν ἐκ τοῦ μένοντος χωρίου ἐξάπτεσθαι. ἵνα οὖν μὴ καθ' ἕνα τῶν τροχίλων ἔκ τε τοῦ μένοντος χωρίου καὶ ἐκ τοῦ φορτίου ἐξάπτωμεν, οἱ μὲν εἰρημένοι εἰς τὸ μένον εἶναι χωρίον εἰς ἕν ξύλον ἐντίθενται περὶ ἄξονα κινούμενοι, ὃ καλεῖται μάγγανον, τοῦτο δὲ ἐξάπτεται ἐκ τοῦ μένοντος χωρίου διά τινος ἑτέρου ὅπλου, οἱ δὲ πρὸς τῷ φορτίῳ εἰς ἕτερον μάγγανον τούτῳ ἴσον, ὃ δὴ πάλιν ἐξάπτεται ἐκ τοῦ φορτίου μόνον. οὕτω δὲ δεῖ καὶ τετάχθαι ἐκ τοῖς μαγγάνοις τοὺς τροχίλους, ὥστε τὰ κῶλα μὴ ἐμπλεκόμενα πρὸς ἄλληλα δυσπειθῆ γίνεσθαι. δι' ἣν δὲ αἰτίαν πλειόνων τῶν' κώλων γινομένων εὐκοπεία παρακολουθεῖ δείξομεν, καὶ δι ἣν αἰτίαν ἡ ἑτέρα ἀρχὴ ἐκ τοῦ μένοντος ἐξάπτεται χωρίου. ἡ δὲ ἕξῆς δύναμις ἡ διὰ τοῦ σφηνὸς, καὶ αὕτη μεγάλας χρείας παρεχομένη πρός τε τὰς μυρεψικὰς πιέσεις καὶ τὰς διὰ τῆς τεκτονικῆς ὑπεραγούσας κολλήσεις. τὸ δὲ πάντων μέγιστον, ὅταν τοὺς ἐκ τῶν λατομιῶν λίθους ἀποσπᾶν δέῃ τῆς κατὰ τὸ κάτω μέρος συνεχείας, οὐδεμία τῶν ἄλλων δυνάμεων ἐνεργεῖν δύναται, οὐδ' ἂν ἅμα πᾶσαι συζευχθῶσι. μόνος δὲ ὁ σφὴν ἐνεργεῖ διὰ τῆς τυχούσης, καὶ ἄνεσις μὲν οὐ δή ιις οὖν

---

[1]) Grössere Lücke der Hdsch. *Command.* übersetzt: et rursus si ad pondus religaverimus alterum orbiculum et ductum caput per ipsum sumentes attrahamus, adhuc multo facilius pondus movebitur, semperque etc.

Hosted by Google

Hosted by Google